ΚΡΙΤΙΚΑ ΚΑΙ ΕΡΜΗΝΕΥΤΙΚΑ

ΕΙΣ ΤΟΝ

ΠΛΟΥΤΑΡΧΟΥ ΕΡΩΤΙΚΟΝ

ΕΝΑΙΣΙΜΟΣ ΠΡΑΓΜΑΤΕΙΑ

ἣν

ΤΗι ΦΙΛΟΣΟΦΙΚΗι ΣΧΟΛΗι

τοῦ

ἐν Ἐρλάγγῃ Πανεπιστημίου Φριδερίκου Ἀλεξάνδρου

ΕΠΙ ΔΙΔΑΚΤΟΡΙΑι

γράψας προὔθηκε

ΒΑΣΙΛΕΙΟΣ Ι. ΛΕΟΝΑΡΔΟΣ B. J. Leonardos

Διδ. ἰατρικῆς, Ἔφορος τῶν Ἀρχαιοτήτων,

Ἀρκὰς ἐκ Δημητζάνης,

Ὑποστὰς καὶ τὴν προφορικὴν δοκιμασίαν τῇ ιδ' /κς' Ἰουλίου ͵αωϞδ'.

ΑΘΗΝΗΣΙ

ΤΥΠΟΙΣ Α. ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ

͵αωϞδ'.

ΚΡΙΤΙΚΑ ΚΑΙ ΕΡΜΗΝΕΥΤΙΚΑ

ΕΙΣ ΤΟΝ

ΠΛΟΥΤΑΡΧΟΥ ΕΡΩΤΙΚΟΝ

ΕΝΑΙΣΙΜΟΣ ΠΡΑΓΜΑΤΕΙΑ

ἣν

ΤΗι ΦΙΛΟΣΟΦΙΚΗι ΣΧΟΛΗι

τοῦ

ἐν Ἐρλάγγῃ Πανεπιστημίου Φριδερίκου Ἀλεξάνδρου

ΕΠΙ ΔΙΔΑΚΤΟΡΙΑι

γράψας προὔθηκε

ΒΑΣΙΛΕΙΟΣ Ι. ΛΕΟΝΑΡΔΟΣ

Διδ. ἰατρικῆς, Ἔφορος τῶν Ἀρχαιοτήτων,

Ἀρκὰς ἐκ Δημητζάνης,

Ὑποστὰς καὶ τὴν προφορικὴν δοκιμασίαν τῇ ιδ'/κϛ' Ἰουλίου ͵αωϙδ'.

ΑΘΗΝΗΣΙ

ΤΥΠΟΙΣ Α. ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ

͵α ω ϙ δ'.

ΤΟΙΣ ΕΝΤΥΓΧΑΝΟΥΣΙ.

Περὶ τὰ τοῦ Πλουτάρχου Ἠθικὰ ἰδίᾳ δὲ περὶ τὸν Ἐρωτικὸν πάλαι ἤδη τὴν διατριβὴν ποιούμενος καὶ τῷ νῷ χωρίων τινῶν προσκόπτων ἀνέτρεχον καὶ εἰς ἄλλων ἀνδρῶν γνώμας καὶ γραφάς· προχείρων μέντοι μοι οὐκ ὄντων πάντων τῶν ἀναγκαίων βιβλίων, οὐδ᾽εἰς φῶς πω ἠγμένης τῆς παρὰ Τευβνέρῳ Βερναρδακείου ἐκδόσεως, ἐχρῆν με πολλάκις τῷ Βινκελμάννῳ μάλιστα ὁδηγῷ χρώμενον ἐκ τῶν ἐνόντων πειρᾶσθαι τὰ διεφθαρμένα διορθοῦν καὶ τὴν προσήκουσαν ἀποδιδόναι ἑρμηνείαν. Οὕτως ἑκάστοτε πρὸς εἰκασίας ἀγόμενος τοῦ χρόνου προϊόντος ὕλην πραγματείας ἰδίας οὐκ εὐκαταφρόνητον συνείλοχα.

Τελευταῖον δὲ σχολῆς μοι οὔσης ἅ μοι ἀναγκαῖα ἦν ἐν τῇ Βερναρδακείῳ ἢ ἐν ἑτέραις ἐκδόσεσιν ἀνεζήτησα, τὰ δ᾽αὖ καὶ ἐν ἄλλαις πραγματείαις, εἰ καί, εἰρήσθω μοι ἐν παρέργῳ, τῶν τελευταίων τούτων ἔστιν ἃς σχεδόν τι μάτην ἐξήτασα· ἀσαφέστεραι γὰρ καὶ γενικώτεραι ἦσαν αὐταῖς αἱ ἐπιγραφαὶ ἢ ὥστ᾽ εὐθὺς ἐκ τούτου μανθάνειν εἴτε τι χρήσιμα τὰ βιβλία τῇ ἐμῇ ἐρεύνῃ ἔμελλεν εἶναι εἴτε μή, ἡ δ᾽ ἀπορία μ᾽ ἀνεμίμνησκε τὸ Φείδου

τοῦ τῶν ἄλλων χρόνου. Ἐν τῇ τελευταίᾳ ταύτῃ ἐξετάσει εἶδον τῶν διορθώσεών τινας ταῖς ἐμαῖς συμπιπτούσας καὶ ἠχθέσθην μὲν ἐπὶ τούτῳ ὅτι ἄλλος προλαβὼν ἐξέδωκεν, ἐχάρην δ' ὅτι ἐμὴ γνώμη ταὐτά μοι ἑτέρου ἀποφηναμένου πλείω τότε πιθανότητα προσεκτᾶτο.

Τῇ εἰρημένῃ οὖν ἐργασίᾳ ἐλπίσας πολλοστόν γέ τι μόριον πρὸς τὴν τοῦ κειμένου ἀνόρθωσιν καὶ γνῶσιν συμβαλεῖσθαι ἐκδίδωμι νῦν τινα τῶν περὶ τοῦ Ἐρωτικοῦ πεπονημένων προτιθέμενος ἐν καιρῷ καὶ τὰ λοιπὰ παρασκευάσαι ἐκ τῆς ἤδη συνειλεγμένης ὕλης.

ΚΡΙΤΙΚΑ ΚΑΙ ΕΡΜΗΝΕΥΤΙΚΑ

ΕΙΣ ΤΟΝ

ΠΛΟΥΤΑΡΧΟΥ ΕΡΩΤΙΚΟΝ

ΚΡΙΤΙΚΑ ΚΑΙ ΕΡΜΗΝΕΥΤΙΚΑ

ΕΙΣ ΤΟΝ

ΠΛΟΥΤΑΡΧΟΥ ΕΡΩΤΙΚΟΝ

....

749a

Ἄφελε τοῦ λόγου. . . . *καὶ ὅσα ἄλλα* τοιούτων τόπων ἐπιλαβόμενοι γλίχονται . . . . ἐπιγράφεσθαι. [1]

Ὁ **Ῥείσκιος** συνεπλήρωσε καὶ ὅσα ἄλλα τοιούτων τόπων, ὧν ἐπιλαβόμενοι κέ. Ὁ δὲ **Βερναρδάκης** ἐν τῇ Τευβνερείῳ ἐκδόσει σημειοῦται: ἴσως «ἄλλα οἱ» ἢ «ἄλλα τινές». Ἔμοιγε δοκεῖ μᾶλλον ὑποκείμενον τῷ ἐπιλαβόμενοι δεῖν ἀποδοῦναι, τοῦτο δ᾽ ἁπλούστατα γίγνεται ἐλαχίστῃ μεταβολῇ ἂν ἀναγνωσθῇ ὧδε: ἄφελε τοῦ λόγου. . . καὶ ὅσα ἄλλοι τοιούτων τόπων ἐπιλαβόμενοι γλίχονται. . . ἐπιγράφεσθαι.

....

1 Περιττὴ ἡ Ῥεισκίου διόρθωσις *ἀπογράφεσθαι*. Πρβ. ἄλλως καὶ Λουκιαν. Δραπέτ. ιϛ', Ἑρμότ. ιδ'.

749e

Παραδόξου δὲ τοῦ πράγματος αὐτοῦ φανέντος, ἥ τε μήτηρ ὑφεωρᾶτο τὸ βάρος . . . . τινὲς δὲ καὶ συγκυνηγοὶ . . . .

Τοῦ α ὐ τ ο ῦ ὁ **Ῥείσκιος** προείλετο α ὐ τ ο ῖ ς· ὁ **Βερναρδάκης** ἐν μὲν Συμβολαῖς [1] (σελ. 114) προὔτεινεν α ὐ τ ῷ, ἐν δὲ τῇ Τευβνερείῳ ἐκδόσει ὀρθῶς ποιῶν οὐ μνημονεύει τὴν παλαιὰν ταύτην διόρθωσιν, μόνην δὲ τὴν Ῥεισκίου γνώμην ἀναγράφει. Τό γ' ἐπ' ἐμοί, ἀντὶ α ὐ τ ο ῦ γραπτέον ἐστὶν α ὐ τ ῇ ἤγουν τῇ μητρί, περὶ ἧς αὐτίκα ἐν τῷ κειμένῳ ὁ λόγος.

Τὸ δὲ τ ε, ὃ Βερναρδάκης ἐν τῇ Τευβνερείῳ εἴς γ ε ἐν τῷ κειμένῳ μεταβαλὼν εἰς τὰς ὑποσημειώσεις κατέγραψεν, ὀρθῶς κεῖσθαι ἡγοῦμαι· πρῶτον μὲν γὰρ οὐ δεῖ ἐκπλήττειν ὡς μετὰ τὸ τ ε ἕπεται δ ὲ, πολλὰ γὰρ παρὰ τοῖς ἀρχαίοις παραδείγματα [2] βεβαιοῖ τὴν ἀπόδοσιν ταύτην, ἄλλως τε καὶ ὅταν ἰσχυροτέρα, ὥσπερ ἐνταῦθα [3], τύχῃ οὖσα, ἔπειτα οὐδὲ τὸ τοῦ τ ε ἀντίστοιχον κ α ὶ λείπει (τ ι ν ὲ ς δ ὲ **καὶ**).

....

749f

παρεχώρησε (ὁ Βάκχων δηλ.) τῷ Πεισίᾳ καὶ τῷ Ἀνθεμίωνι βουλεύσασθαι τὸ συμφέρον, ὧν ὁ μὲν [4] ἀνεψιὸς αὐτοῦ ἦν πρεσβύτερος, ὁ δὲ Πεισίας αὐστηρότατος τῶν ἐραστῶν.

Ὁ **Βερναρδάκης** ἐν τῇ Τευβνερείῳ βούλεται τὸ **α ὐ τ ο ῦ** ἐξαλεῖψαι, ὁ δὲ **Ῥείσκιος** ἀντὶ π ρ ε σ β ύ τ ε ρ ος προὔ-

---

1 Symbolae criticae et palaeographicae in Plutarchi vitas parallelas et moralia. Lipsiae 1879.

2 *τὲ—δὲ καὶ* Πλάτ. Εὐθύφρ. 3e, Συμποσ. 186e. *τὲ—δὲ* Πλάτ. Μέν. 93cd. Πρβ. Πλουτ. Ποπλ. 9 *εὐθύς τε γὰρ—μὲν—δέ*.

3 Εὐθὺς κατωτέρω: «ἐργωδέστεροι τῶν ἀπὸ σπουδῆς ἐνισταμένων ἦσαν ἀνταγωνισταὶ πρὸς τὸν γάμον».

4 Ὁ Ῥείσκιος ἔχει τὸ *μὲν* ἐν ταῖς σημειώσεσι. Κατὰ **Βινκελμάννον** (Plutar-

τεινε πρεσβύτατος. Κακῶς ἄμφω, ὡς ἐμοὶ δοκεῖν. Τὸ μὲν γὰρ αὐτοῦ ἀναγκαῖον ὑπάρχει μεταξὺ τοῦ ἀνεψιὸς καὶ πρεβύτερος κείμενον καὶ εἰς ἀμφότερα ἀναφερόμενον. Ὡσαύτως δ' ἄστοχον ἡγοῦμαι καὶ τὴν τοῦ Ῥεισκίου γραφὴν πρεσβύτατος· ἡ γὰρ σύγκρισις πρὸς τὸν Βάκχωνα πρόκειται, δηλοῖ δ' οὐχ ὅτι ὁ Ἀνθεμίων ἦν πρεσβύτατος ἀποτόμως οὐδ' ἄλλο τι, εἰ μὴ ὅτι ἦν ἀνεψιὸς αὐτοῦ (τοῦ Βάκχωνος), πρεσβύτερος αὐτοῦ. Τὸ δ' ἀνεψιὸς ἐνταῦθα οὔτε τῷ προσήκων καθόλου ἐστὶν ἴσον, τοῦτο γὰρ ἤδη ἀνωτέρω εἴρηται (749 c), οὔτε τῷ ἀδελφιδοῦς, οὐ γὰρ ἂν ὁ Βάκχων μειράκιον[1] αὐτὸς ὢν (749 d) Ἀνθεμίωνι παρεχώρει, ὡς ἁπλῶς εἰκάσαι, βουλεύσασθαι τὸ συμφέρον, ἀλλὰ τῷ παρὰ τοῖς ὕστερον Ἕλλησιν ἐξάδελφος. Οὕτως οὐδὲ **Ξυλάνδρῳ,** avunculus γράψαντι, ὀρθῶς ἔοικε μεθηρμηνεῦσθαι.

. ...

749f

ἀλλὰ . . . . μιμεῖσθαι τοὺς φαύλους ἐραστὰς οἴκου καὶ γάμου καὶ πραγμάτων μεγάλων ἀποστεροῦντα τὸν φίλον, ὅπως ἀθέατος αὐτῶν[2] καὶ νεαρὸς ἀποδύοιτο . . . .ἐν ταῖς παλαίστραις.

Ὁ **Βινκελμάννος** ἤκασέ ποτε ἄθικτος αὐτῶν καὶ καθαρός, ὃ οὐδ' ἔπειτα πάντως ἀπήρεσεν αὐτῷ. Ἐν τῷ κειμένῳ μέντοι παρέλαβεν, ὥσπερ καὶ **Βερναρδάκης**, τὸ ἄθικτος αὐτῷ καὶ νεαρός. Ἔγωγε δὲ μείζω τῷ

---

chi opera moralia selecta. Vol. I continens Eroticum etc. Lat. Xylandri interpretationem adjecit A. G. W. Turici 1836) τὸ *μὲν* ἔχουσι B. E. Ἀλδ. Βασ. Μεζιρ. Βυττενβάχιος, κοινῶς δ' ἄπεστι.

1 Περὶ τῆς Βάκχωνος ἡλικίας πρβ. καὶ τὰ ἐν διορθώσει 753a.

2 B. Ἀλδ. Βασ. *ἀθέατος αὐτῶν* E. *ἄθικτος αὐτῶν*. Τουρν. *ἄθηκτος αὐτῷ*. Στέφανος (ex Leonic. et Schott.) *ἄθικτος αὐτῷ*.

χειρογράφῳ Ε πίστιν ἀποδιδοὺς προτείνω τὴν τούτου μᾶλλον γραφὴν ἀποδέξασθαι ὡς γνησίαν: ἄ θ ι κ τ ο ς α ὐ τ ῶ ν κ α ὶ ν ε α ρ ό ς, τοῦ α ὐ τ ῶ ν ἀναφερομένου δῆτα εἰς τὸ ο ἴ κ ο υ . . . κ α ὶ π ρ α γ μ ά τ ω ν. Ὅτι δὲ πολλὴν ἀξίαν τὸ χειρόγραφον Ε τυγχάνει κεκτημένον, ἤδη τῷ τε **Διλσίῳ** καὶ τῷ Βερναρδάκῃ εἴρηται· ὧν ὁ μέν φησι[1] τό τε Ε καὶ τὸ Α ἐκ τῆς Πλανουδείου[2] Συναγωγῆς ἀντιγεγράφθαι, μᾶλλον δ' ὅμως τῷ νεωτέρῳ Ε πιστευτέον εἶναι, ὅ γεγραμμένον ἑκατονταετηρίδος 13ης ληγούσης ἢ 14ης ἀρχομένης εὕρηται νῦν ἐν Παρισίῳ (ἀριθμ. 1672), ὁ δὲ Βερναρδάκης[3] τῇ τοῦ Ε τάξει ἑπόμενος λέγει περὶ αὐτοῦ τάδε: «omnium (codicum) plenissimus et locupletissimus E n. 1672» καὶ κατωτέρω[4]: «omnium codicum maximus[5] locupletissimus plenissimus est Parisinus n. 1672. . . atque etiam in quibusdam velut 70—76 (70='Ερωτικὸς) dux sit et optimus et fere solus; nam codex n. 1675 littera B insignitus, in illis quidem aliquantulo inferior est.

'Αντὶ δὲ τοῦ ἀ π ο σ τ ε ρ ο ῦ ν τ α γραπτέον ἴσως ἀ π ο σ τ ε ρ ο ῦ ν τ α ς (ἤγουν τοὺς φαύλους ἐραστάς).

751f

οὐ μέτρια[6] δόξειε ποιεῖν ὁ παιδικὸς οὗτος, ἀλλ' ὥσπερ ὀψὲ γεγονὼς . . . . ἐξελαύνει τὸν γνήσιον Ἔρωτα[7] πρεσβύτερον.

Ὁ **Ῥείσκιος** προτείνει «ἂ ν (ἀντὶ ἀ λ λ') . . . ἐ ξ ε

1 Doxographi Graeci, Berol. 1879 (ἐν τοῖς Προλεγομένοις σελ. 36).

2 «Aut Planudes aut aequalis ejus». Πρβ. καὶ **Τρεύιον** Zur Gesch. d. Überlief. 1877.

3 Ἐν προλόγῳ τῆς Τευβνερείου ἐκδόσεως σελ. η'.

4 Αὐτόθι σελ. ιϛ'.

5 Κατὰ Δίλσιον (ἀνωτ.) $0{,}41^{m} \times 0{,}30^{m}$.

6 Βερναρδάκης ἔν τε Συμβολαῖς καὶ ἐν Τευβνερείῳ κειμένῳ *μέτρι' ἄν*.

7 Οὕτω κοινῶς. Μετὰ τὸ *Ἔρωτα* ἐν Β. Ε. *καί*.

λ α ύ ν η » ἢ «ἀ λ λ' . . . . ἐ ξ ε λ α ύ ν ε ι ν ». Καὶ ὁ **Βερναρδάκης** κατὰ **Μεζιριάκον** (καὶ **Βυττενβάχιον**) ἐν τῷ κειμένῳ ἔγραψεν ἐ ξ ε λ α ύ ν ε ι ν, οὐδὲν δέον (καθάπερ καὶ **Βινκελμάννος** φησίν)· ἀληθέστερον δὲ καί τι ἐναργέστερον ἔχει μάλιστα ἐν τῷ τοῦ Δαφναίου λόγῳ ἡ εἰς ὁριστικὴν ἔγκλισιν μετάβασις, ἄλλως τε καὶ ἱκανῶν παρεμπεσουσῶν λέξεων.

Μετὰ τὸ Ἔ ρ ω τ α ὁ **Ρείσκιος** προστίθεται ὄ ν τ α. Ἐγὼ δ' ἂν ἑλοίμην αὐτὸ μετὰ τὸ π ρ ε σ β ύ τ ε ρ ο ν γράψαι, ὃ καὶ παλαιογραφικῶς τῆς αὐτῆς που πίστεως ἄξιον ὂν τυγχάνει (π ρ ε σ β ύ τ ε ρ ΟΝ ΟΝτα.). Τὸ δὲ κ α ὶ ἔστιν εἴτε μᾶλλον ἐκ τῶν Β. Ε. παραλαβεῖν, ὥσπερ ἀπὸ Βυττενβαχίου ἐγένετο, εἴτε ὀβελίσαι. Ἀλλὰ καὶ τῆς πλοκῆς «τὸν γν. Ἔρωτα καὶ πρεσβύτερον» ἀνάλογον ὑπάρχει Πλουτ. 75c «τὸ ἄκρον ἀγαθὸν καὶ τέλειον»(παρὰ Βερναρδάκῃ ἐν τῇ Τευβνερείῳ ἄλλως «ἄκρατον τὸ ἀγαθὸν καὶ τέλειον»).

....

752e

Προκηρύξας ἐμοῦ γε ἕνεκα πάσαις γυναιξὶν ἐραστήν.[1]

Ὁ **Βινκελμάννος** εἰκάζει : γ υ ν α ι ξ ὶ ν ε ἶ ν α ι ἐ ρ α σ τ ὴ ν» δηλ. αὐτὸν ἢ τὸν νεανίσκον).

Ὁ **Μαδβίγιος**[2] γ υ ν α ι ξ ὶ ν ἱ έ ν α ι ἐ ρ α σ τ ή ν.

Ὁ **Ἑρουερδῆνος**[3] ἑπόμενος τῷ Βινκελμάννῳ γράφει γ υ ν. ε ἶ ν α ι ἐ ρ α σ τ ή ν.

Ὁ δὲ **Βερναρδάκης** ἐν μὲν Συμβολαῖς προτείνει γ υ-

---

1 Οὕτω; ἐν ταῖς ἐκδόσεσιν. Ἐν Β: *γυναιξίν, ἂν ἐραστήν*. Ε: *γυναιξὶν ἂν ἐραστήν*.
2 Adversaria critica Vol. I (Hauniæ 1871) σελ. 657—659.
3 Plutarchea et Lucianea. Πρβ. Zeitschr. für öst. Gymnas. 1878, Literar. Centralbl. 1878 καὶ **Εἴνζιον** ἐν Bursians Jahresber. Τόμ. Θ'.

ναιξὶν ἂν εἶναι ἑρμηνεύων κατὰ τὴν νῦν Ἑλληνίδα φωνὴν «ὅτι εἰμπορεῖ νὰ εἶνε, ὅτι ἔχει τὸ δικαίωμα νὰ εἶνε». Ἐν δὲ τῇ Τευβνερείῳ φησίν : «ἀβέβαιον, ὅτι ἐν τῷ ἂν λανθάνει· ἴσως αὐτόν.» Κἀγὼ δὲ πρὸ τῆς Βερναρδακείου ἐκδόσεως ἔτυχον ἀνενδοιάστως γεγραφώς : γυναιξὶν αὐτὸν ἐραστήν.

....

752f

Μέγα γὰρ ἂν ἐλαφρᾷ . . . . . μειρακίου συνελθόντος εἰς ταὐτὸν ἡ[1] κρᾶσις οἴνου δίκην ἐπικρατήσῃ[2].

Ὁ **Ρείσκιος** γράφει μὲν «μέγα γὰρ ἄν, ἐλαφρᾷ . . . εἰς ταυτόν, εἰ κρᾶσις. . . . ἐπικρατήσει», ἀντὶ δὲ «εἰ κρᾶσις» ἀναγινώσκει κατὰ Ξύλανδρον «ἡ κρᾶσις». Ὁ **Βυττενβάχιος** γράφει «μέγα γὰρ ἂν ἐλ . . . . . ταυτόν, ἡ κρ. ἐπικρατήσει», ὁ δὲ **Βινκελμάννος** «μέγα γὰρ ἂν ἐλ . . . . ταὐτὸν ἡ κρ. ἐπικρατήσει».

Ἐγὼ δὲ ἔγραψα «Μέγα γὰρ ἂν . . . . ἡ κρᾶσις ἐπικρατήσῃ», καθάπερ δ' ὕστερον εἶδον, οὕτω μὲν καὶ **Βερναρδάκης** ἐγεγράφει ἐν τῇ Τευβνερείῳ, «ἐπικρατήσῃ» δὲ καὶ **Πφλούγκιος**[3] ἤδη καὶ **Μαδβίγιος**.

... .

1 Κοινῶς *εἰ*. Ε. Μεζιρ. *ἡ*.

2 Οὕτως ἐν Ε. Ἐν δὲ Β. φέρεται : *ἐπικρατήσῃ* (*ει* superscript).

3 Emendationes ad Plutarchi moralia ex schedis edidit J. Marquardt ἐν Zeitschr. für die Alterthumswiss. 1848, No 112.

753a

κινδυνεύομεν ἀναστρέφειν ... τὸν Ἡσίοδον, ἂν ἐκείνου λόγος,

μήτε τριηκόντων[1] ....
μήτ' ἐπιθεὶς ....
ἡ δὲ γυνὴ τέτορ' ἡβώοι[2]......

σχεδὸν ἡμεῖς οὗτοι τοσούτοις γυναικὶ πρεσβυτέρᾳ, καθάπερ οἱ φοίνικες ἢ σῦκα[3]...... καὶ ἄωρον ἄνδρα περιάψωμεν.

Ὁ **Ῥείσκιος** ἤκασε τὸν Ἡσιόδου ἐκεῖνον λόγον.... σχεδὸν γὰρ ἡμεῖς ἔτεσι τοσούτοις.

Ὁ **Βυττενβάχιος**: τὸ Ἡσιόδειον[4].... σχεδὸν ἡμεῖς τοῦτον τοσούτῳ.

Ὁ δὲ **Δύβνερος**: τὸν Ἡσιόδειον ἐκεῖνον λόγον, καὶ κατωτέρω: καθάπερ οἱ φοίνικες ἢ σῦκα [ἐρινάζονται, πρώθηβον].

Ὁ **Μαδβίγιος** γράφει: τὸν Ἡσίοδον, ἂν ἐκείνου λέγοντος..... σχεδὸν ἡμεῖς...... περιάψωμεν.

Πρὸς δὲ τούτοις ὁ **Ξύλανδρος** «φοίνικας» λέγει μόνον τοὺς καρπούς, ἀλλ' οὐ τοὺς τῆς Φοινίκης κατοίκους. Ὁ δὲ Ῥείσκιος λέγει πρῶτον: Φοίνικες ἢ Σύροι ὄμφακα καὶ ἄωρον ἄνδρα, ἔπειτα ὅμως: οἱ φοίνικας ἢ συκᾶς ζευγνύντες, ἀτέλειον καὶ ἄωρον. Ὁ δὲ **Σαλμάσιος** (ὥς φησι Ῥείσκιος) ἔγραψε: καθάπερ

---

1 Οὕτω διώρθωσε **Βινκελμάννος** ἐξ Ἡσιόδου Ἔργ. καὶ Ἡμ. 696. Κοινῶς *τριήκοντ' ὤν*· κατὰ Βερναρδάκην (Τευβν. Τόμ. Α', προλ. σελ. ν') ΒΕ *τριήκοντ' ὤν*.

2 Οὕτως Ε. Τουρν. Βονγ. Κοινῶς: *ἡβῴη*, Ἀλδ. *ἡ βωή*, Βασ. *ἡβώη*. Κατὰ Βερναρδάκην (ἀνωτ.) Β *ἡβώ* (η superscript).

3 Ἐν Β. κενὸν 13, ἐν δὲ Ε. 10 γραμμάτων.

4 Ind. graecit. I, σελ. 125.

ἢ φοίνικες, ἢ σῦκα, τῇ εἰρεσιώνῃ ἄωρον ἄνδρα. Ὁ Βυττενβάχιος: καθαπερεὶ φοίνικι συκάμινον, ἄωρον ἄνδρα περ.

Ὁ **Ἐμπέριος** [1] ἐπαινεῖ μὲν τὴν Βυττενβαχίου γνώμην: φοίνικι συκάμινον λέγων ὡς ἄμεινον ἂν εἴη συκῆν γράψαι, προτείνει δὲ καὶ ἄλλα τινὰ εἰπών: σχεδὸν ἡμεῖς οὖν τοσούτοις (δηλ. «ἔτεσι») ..... καθαπερεὶ φοίνικα σηκῷ [2] ἄ. ἄ. περιάψομεν.

Ὁ **Βινκελμάννος** διὰ μακρῶν περὶ τούτων πραγματευόμενος καταλήγει εἰς τόδε: καθάπερ οἱ φοίνικες ἢ σῦκα περιάπτονται, οὕτω καὶ ἄωρον ἄνδρα περιάψωμεν.

Τέλος δ' ὁ **Βερναρδάκης** ἐν μὲν Συμβολαῖς: τὸν Ἡσίοδον, ἂν ἐκείνου λέγοντος.... σχεδὸν ἡμεῖς ἔτεσι τοσούτοις γυναικὶ πρεσβυτέρᾳ, καθάπερ οἱ φοίνικας ἢ σῦκα ἐρινάζοντες (ἢ «ἐρινεοῖς») νεώτερον καὶ ἄωρον ἄνδρα περιάψωμεν. Ἐν δὲ τῇ Τευβνερείῳ μέχρι μὲν καὶ τοῦ πρεσβυτέρᾳ γράφει ὁμοίως τοῖς ἐν Συμβολαῖς, εἶτα δέ: καθαπερεὶ φοίνικας ἢ σῦκ' ἐρινεοῖς, ὄμφακα καὶ ἄωρον ἄνδρα περιάψωμεν.

Ὁ λόγος ἐνταῦθα περὶ τοῦ Βάκχωνος, ὃς καλεῖται ἔφηβος (749e, 755a), χλαμύδα φέρων (752f, 754l, 755a), μειράκιον (749d, 749f, 752f, 754e), νέος ἀνὴρ (754d) κλπ. καὶ περὶ τῆς Ἰσμηνοδώρας διπλασίαν που τοῦ Βάκχωνος ἡλικίαν ἐχούσης. Παραβάλλονται γὰρ μονονοὺ τῷ ἑκκαιδεκαέτει Ἰολάῳ καὶ τῇ τρία καὶ τριάκοντα ἔτη γεγεννημένῃ Μεγάρᾳ (754e). Κατὰ ταῦτα οὖν εὔλογόν μοι δοκεῖ πρὸ

---

1 «In Plutarchi Amatorium» ἐν Φιλολόγου τόμ. 10ῳ, σελ. 331—333, ὧν προτάσσει «Dieser Aufsatz hat sich unter Bambergers Papieren gefunden».

2 «*Σηκὸς* stirpem oleae significat putrem et decrepitam».

τοῦ τ ο σ ο ύ τ ο ι ς ἀναπληρώσαντα ἑ τ έ ρ ο ι ς ἀπ' ἀρχῆς γράφειν ὧδε: κ ι ν δ υ ν ε ύ ο μ ε ν ἀ ν α σ τ ρ έ φ ε ι ν . . . . . τ ὸ ν Ἡ σ ί ο δ ο ν ἂ ν π α ρ ὰ [1] τ ὸ ν ἐ κ ε ί ν ο υ λ ό γ ο ν (ἢ «ἄ ν, ἐ κ ε ί ν ο υ λ έ γ ο ν τ ο ς»)..... γ α μ ο ῖ τ ο, σ χ ε-δ ὸ ν ἡ μ ε ῖ ς ἐ ν ι α υ τ ο ῖ ς ἑ τ έ ρ ο ι ς τ ο σ ο ύ τ ο ι ς γ υ-ν α ι κ ὶ π ρ ε σ β υ τ έ ρ ᾳ κ α θ α π ε ρ ε ὶ (ἢ «κ α θ ά π ε ρ ο ἱ») φ ο ί ν ι κ α ς ἢ σ ῦ κ α π ε π α ί ν ο ν τ ε ς (ἢ «κ α θ α-π ε ρ ε ὶ φ ο ί ν ι κ ε ς ἢ σ ῦ κ α [2] π ε π α ί ν ο ν τ α ι» ἢ «ψ η ν ί ζ ο ν τ α ι»)[3] ν έ ο ν [4] κ α ὶ ἄ ω ρ ο ν ἄ ν δ ρ α π ε ρ ι ά ψ ω μ ε ν.

....

753c

εἰ δὲ τῷ πλούτῳ βοηθήσων, ᾧ μάλιστα δεδίττεται Πεισίας ἡμᾶς.

Ὁ **Βυττενβάχιος** διορθοῖ ἔ τ ι δ ὲ τ ῷ π λ ο ύ τ ῳ β ο-ή θ η σ ο ν, ὃ καὶ **Βερναρδάκης** παρέλαβεν ἐν τῇ Τευβνε-ρείῳ.

Ὁ **Βινκελμάννος** προαιρεῖται ἄθικτον καταλιπεῖν τὸ χωρίον.

Ὅτι μὲν οὖν κυρίως οὐχὶ δ' ἐν παρέργῳ (κατὰ τὸ τοῦ Βυττενβαχίου ἔ τ ι δ ὲ) περὶ τοῦ πλούτου βούλεται τὸν πατέρα εἰπεῖν ὁ Ἀνθεμίων, ἐξάγεται ἔκ τε τῆς ἀρχῆς καὶ ἐκ πολλοῦ μέρους τοῦ λόγου τοῦ Πατρός. Διόπερ ἔγωγε κ α ὶ δ ὴ τ ῷ π λ ο ύ τ ῳ β ο ή θ η σ ο ν ἑλοίμην ἂν διορ-θῶσαι.

1 = Ἐναντίον.

2 Ἢ *συχαῖ* κατὰ τὴν χρείαν.

3 Περὶ τῶν ῥημάτων πρβ. τὰ ὑπὸ Βινκελμάννου (ἐν τοῖς σχολίοις) σελ. 129—130 φερόμενα παραδείγματα.

4 Πρβ. «*νέου ἀνδρὸς*» 754d.

753[c]

Ἐπαχθὲς [1] καὶ δυσκαρτέρητον ἔχουσι.

Ὁ **Ξύλανδρος** πάμπολλα ἐλλείπειν ἐνταῦθα ἡγεῖται. Ὁ **Ῥείσκιος** καὶ **Ἐμπέριος** συνάπτουσιν ἄνευ διαλείμματος τὰς λέξεις ἐπαχθὲς καὶ δυσκαρτέρητον ἔχουσι. Ὁ **Βυττενβάχιος** πληροῖ τὸ κενὸν διὰ τοῦ πολλάκις, ὁ δὲ **Βινκελμάννος** διὰ τοῦ «καὶ πικρὸν» ἢ «καὶ στυγνὸν» ἢ «καὶ σκυθρωπόν», ὡς εἰ μὴ ἄλλα ἱκανὰ ἐπίθετα ἦν. Ὁ **Βερναρδάκης** ἐν τῇ Τευβνερείῳ ἄλλο ἐπίθετον εὑρίσκει [2] δὲ τὸ σεμνόν.

Ἐμοὶ δὲ δοκεῖ ἓν οὐσιαστικόν, μόνον οὐ φωνὴν ἀφιέν, παρεμβαλόντι γράψαι: ἐπαχθὲς δὲ τὸ ἦθος καὶ δυσκαρτέρητον ἔχουσι, οἷς ἀκριβέστατα καὶ τὰ ὑπὸ τῶν χειρογράφων Β. καὶ Ε. (κατὰ Βινκελμάννον) ἐπιβαλλόμενα πληροῦται.

....

753[d]

Ἆρα [3] οὖν κράτιστον ἐξ ἀγορᾶς γαμεῖν...... ἔγγυον ἐπαγομένην.

Ὁ **Βινκελμάννος** οὐδαμῶς διστάζων γράφει ἀνέγγυον, ὃ καὶ **Βερναρδάκης** ἐν τῇ Τευβνερείῳ παρέλαβεν. Ὁ δ' **Ἐμπέριος** προτείνει ἐγγύην ἐπαγόμενον.

Ἀλλ' ὅρα μή τι σαρκαστικῶς εἴρηται ἔγκυον (γέν. θηλ.) ἐπαγόμενον (ἢ «ἀπαγόμενον») [4].

---

1 Κατὰ Βινκελμάννον ἐν Β. καὶ Ε. κενὸν ὀκτὼ γραμμάτων. Κατὰ Βερναρδάκην 6 Ε. 8 Β.

2 Ὡς ἔοικεν, ἐκ τοῦ Πλουτ. Νικ. κεφαλ. β'.

3 Οὕτω Β Ε. Κοινῶς, Ἀλδ. Βασ. ἄρα.

4 Τὰς (μέσης διαθέσεως) μετοχὰς ταύτας ἐγεγράφειν ἤδη, πρὶν ἰδεῖν τὴν Ἐμπερίου γνώμην.

754[a]

Ὁ δὲ συστέλλων τὴν γυναῖκα καὶ συνάγων εἰς μικρόν, ὥσπερ δακτύλιον ἴχνος, ὡς μὴ παραρρυῇ [1] δεδιώς.....

Ὁ **Ῥείσκιος** τὸ μὲν ἴ χ ν ο ς ὕποπτον εἶναι, τὸ δὲ ὡ ς παρέλκειν ἀποφαίνεται.

Ὁ **Βυττενβάχιος** ἤκασε: δ α κ τ ύ λ ι ο ν δ α κ τ ύ λ ο υ ἰ σ χ ν ο ῦ μ ὴ π α ρ α ρ ρ υ ῇ δ ε δ ι ώ ς. Ὁ **Βινκελμάννος** ἐν μὲν τῷ κειμένῳ ἔγραψεν ὥ σ π ε ρ δ α κ τ υ λ ί ο υ ς δ α κ τ ύ λ ω ν ἰ σ χ ν ῶ ν μ ὴ π ε ρ ι ρ ρ υ ῇ δ ε δ ι ώ ς, ἐν δὲ τοῖς σχολίοις (σελ. 139) ἀπεκήρυξε τὴν γραφὴν τηρῶν ὅμως τὸ π ε ρ ι ρ ρ υ ῇ καὶ πρὸς Βυττενβάχιον ἐν τοῖς λοιποῖς κλίνων.

Ὁ **Δύβνερος** προτείνει τὰ ὄντως ἄτοπα: ὥ σ π ε ρ δ α κ τ υ λ ί ο υ ς δ α κ τ ύ λ ι ο ν ἴ χ ν ο ς ὢ ν μ ὴ π ε ρ ι ρ ρ υ ῇ δ ε δ ι ώ ς.

Ὁ **Ἐρουερδῆνος** **προτείνας** τὰ ἄλλως τὸν νοῦν εἴ ἔχοντα ὥ σ π ε ρ δ α κ τ ύ λ ι ο ν τ ῶ ν ἑ λ ι κ τ ῶ ν [2] μεταβάλλει ἔπειτα εἰς ὥ σ π ε ρ δ α κ τ ύ λ ι ο ν ἰ σ χ ν ὸ ς ὢ ν μ ή. Ὁ δὲ **Βερναρδάκης** ἐν μὲν Συμβολαῖς (σελ. 115) εἰκάζει τάδε: ὥ σ π ε ρ δ α κ τ ύ λ ι ο ν δ ά κ τ υ λ ο ν ἰ σ χ ν ὸ ν μ ὴ π ε ρ ι ρ ρ υ ῇ δ ε δ ι ώ ς. Ἐν δὲ τῇ Τευβνερείῳ τὸ ἰ σ χ ν ὸ ς ὢ ν παρὰ **Κοραῆ**, ὥς φησι, παρειληφὼς γράφει ὥ σ π ε ρ δ α κ τ ύ λ ι ο ν δ α κ τ ύ λ ω ν ἰ σ χ ν ὸ ς ὢ ν μ ὴ π ε ρ ι ρ ρ υ ῇ δ ε δ ι ώ ς.

Κατὰ ταῦτα, ἂν μὴ τὴν ἀνωτέρω γραφὴν ὥ σ π ε ρ δ α κ τ ύ λ ι ο ν, ἰ σ χ ν ὸ ς ὤ ν, μ ὴ π ε ρ ι ρ ρ υ ῇ δ ε δ ι ὼ ς

1 Οὕτω κοινῶς. Ἐν Β. Ε. Ἀλδ. *δακτύλων ἴχνος ὢν μὴ περιρρυῇ*. Βασ. *δακτύλιον ἴσχνος ὢν μὴ περιρρυῇ*.

2 Τοιοῦτοι συνεσπειραμένοι (χαλκοῖ ὡς ἐπὶ πολὺ) δακτύλιοι, ἴσως δὲ καὶ ἑλικτῆρες ἢ σφιγκτῆρες («σφηκωτῆρες» ὡς εἰπεῖν κατὰ τὸ παρ' Ὁμήρῳ Ἰλ. Ρ, 52) τῆς κόμης, εὑρέθησαν καὶ εὑρίσκονται πολλαχοῦ ἐν ταῖς ἀνασκαφαῖς. Πρβ. καὶ τοὺς χρυσοῦς τοὺς ἐν Μυκήναις κλπ. εὑρημένους.

χρῇ παραλαβεῖν. ἴσως γραπτέον «ὥσπερ δακτύλιον δακτύλων ἰσχνῶν» ἢ «δακτύλιον ἰσχνῶν δακτύλων κέ.» Εἰρήσθω δέ μοι παρεξιόντι, ὡς πάλαι ποτὲ ἐγεγράφειν: εἰς μικρόν, ὥσπερ δακτύλιον, κρίκον (κατὰ τὸ ἐν 304^{b}), ἀλλ' οὐ πάνυ τι ἀρέσκει ἡ λέξις ἄλλως τε καὶ ἐκβαίνουσα τῆς παραδεδομένης γραφῆς.

754^{b}

Ὁ μὲν γὰρ Ἀντίγονος ὠχυρωμένῳ τὴν Μουνιχίαν[1] τῷ φρουροῦντι γράφων ἐκέλευε ποιεῖν μὴ μόνον τὸν κλοιὸν ἰσχυρὸν ἀλλὰ καὶ τὸν κύνα λεπτόν.

Τὸν τύπον ὠχυρωμένῳ οὐδ' ἐγὼ ὑγιαίνειν ἡγοῦμαι. Ὁ **Ῥείσκιος** αἱρεῖται μᾶλλον ὠχυρωμένην. Ἀλλ' εἰ ἑξῆς κελεύεται «ποιεῖν τὸν κλοιὸν ἰσχυρόν,» εὔλογόν γε δήπου εἰκάσαι τὴν ὀχύρωσιν οὔπω τετελέσθαι, ἀλλὰ μᾶλλον τελεῖσθαι, καὶ δὴ ἀντὶ παρακειμένου χρηστέον μοι δοκεῖ τῷ ἐνεστῶτι. Καὶ μὲν δὴ εἰ μὴ ἑτέρα μετοχὴ (γράφων) εἵπετο, ἔλεγον ἂν ὀχυρούμενος· νῦν δὲ διορθωτέον ἡγοῦμαι ὀχυρουμένῳ (μέσ.) τὴν Μουνιχίαν.

....

755^{d}

Μὴ λέγε ταῦτα..... μηδ'[2] ὑπονόει ἐτὶ Βάκχωνος.

Ὁ **Βερναρδάκης** ἐν τῇ Τευβνερείῳ προαιρεῖται «μηδ' ὑπονόει περὶ» ἢ «τι περὶ Βάκχωνος». Ἐγὼ δὲ

1 Ἐπηνώρθωκεν οὕτω **Βερναρδάκης** ἀντὶ *Μουνυχίαν*, εὖ ποιῶν· ὅρα **Μεϊστερχάνσιον** Γραμματ. τῶν Ἀττ. Ἐπιγραφῶν ἐκδ. β', σελ. 23,8 (πρβ. **Διττενβεργ.** Συναγωγ. IGS. 2406 Βοιωτ. διαλέκτ. *Μωνυχίαν*) καὶ **Κόντον** ἐν Ἀθηνᾶς Τόμ. Α', σελ. 94 κέ. καὶ Τόμ. Γ', σελ. 383.

2 Β. Ε. *μὴ δ' ὑπονόει.*

δὲ πάλαι μὲν μηδ' ὑπονόει τι Βάκχωνος ἐγεγράφειν, εἴη δ' ἂν ἴσως καὶ τὸ ἐπὶ ὅλως ἀπολεῖψαι καθό, ὡς εἰκάσαι, ἐκ τοῦ ει τοῦ ὑπονόει προελθόν· εὕρηται γὰρ καὶ γενικῇ συντασσόμενον τὸ ὑπονοεῖν, ἄλλως δ' ἔστι τὸ ταῦτα καὶ ἐν τῷ ὑπονόει ὑπακοῦσαι.

755d

καὶ γάρ[1] *εἰ μὴ.... ἁπλοῦς ἦν καὶ ἀφελής, ἐμὲ γοῦν*[2] *ἀπεκρύψατο.*

Ὁ **Ξύλανδρος** ἀναγνωστέον ἡγεῖται καὶ γὰρ εἰ καὶ μή, κατωτέρω δὲ ; ἐμέ γοῦν οὐκ ἂν ἀπεκρύψατο. ἃ τελευταῖα καὶ **Ῥείσκιος** ἐγκρίνει.
Ὁ **Βινκελμάννος** παρὰ **Μεζιριάκου** καί τι παρὰ Ῥεισκίου λαβὼν ἔγραψεν : ἐμὲ γ' οὐκ ἂν ἀπεκρύψατο, ὃ καὶ **Βερναρδάκης** παρέλαβεν ἐν Τευβν. ἐκδόσει.
Ἁπλούστερον ἐμοὶ δοκεῖ ποιῆσαι, τὸ ν δηλονότι τοῦ γοῦν εἰς κ μεταβαλόντα γράψαι ἐμέ γ' οὐκ ἀπεκρύψατο· ὡς γὰρ τὸ ἂν ἐνίοτε παραλείπεται ἐν τῇ ἀποδόσει ἄλλως τε καὶ ὅταν αὕτη ὥς τι βέβαιον νοῆται, τοῖς πᾶσι δῆλον (πρβ. ἀνωτ. 751f «εἰ δὲ—, οὐ μέτρια δόξειε»). Ἢ καὶ ἐρωτηματικῶς ἄνευ μεταβολῆς ἐμὲ γοῦν ἀπ... ;

765b

οὕτως ἡμῖν ὁ οὐράνιος ἔρως ἔσοπτρα καλῶν καλά, θνητὰ μέντοι θεῶν παθητὰ καὶ νοητῶν αἰσθητά[3] *..... δείκνυσιν.*

Ἐνταῦθα ὁ Πατὴρ ὁμοίωσιν τοῦ οὐρανίου ἔρωτος πρὸς

1 Τὸ γὰρ ἔχουσι Β. Ε.
2 Κατὰ Βινκελμάννον οὕτω κοινῶς. Κατὰ Βερναρδάκην Β. Ε. γοῦν.
3 Οὕτω Β. Ε. Κοινῶς λείπει τὸ αἰσθητά.

τοὺς γεωμέτρας ποιούμενος, οἳ τοῖς παισὶν ἁπτὰ μιμήματα τῶν νοητῶν προτείνουσιν, τέσσαρας ἐπάγεται ἀντιθέσεις[1]· καὶ αἱ μὲν τρεῖς ἀμφότερα κέκτηνται τὰ μέλη, ἡ δὲ προτελευταία ἑτερόζυξ τυγχάνει οὖσα, τοῦ παθητὰ οὐδὲν ἔχοντος τὸ ἀντίστοιχον. Διὸ καὶ πάντες τῷ χωρίῳ προσέκρουσαν οἱ ἐκδόται.

Ὁ **Ῥείσκιος** τὰ μὲν χειρόγραφα Β καὶ Ε περιορῶν, τῇ δὲ κοινῇ ἀκολουθῶν γραφῇ, ἐν ᾗ τὸ αἰσθητὰ ἄπεστιν, ἀναστρέφει τὰς λέξεις παθητὰ καὶ καὶ τῷ νοητῶν τὸ παθητὰ ἀντιτίθησι (καὶ παθητὰ νοητῶν). Ἀλλ' ὅτι οὐκ ὀβελιστέον τὸ αἰσθητὰ, ἤδη ἀπὸ **Βυττενβαχίου** δέδεικται (πρβ. Πλουτ. Περὶ Εὐθυμίας § κ' καὶ Πλουτ. Νουμ. § η'). Εἰ μὲν οὖν ἀντὶ τοῦ αἰσθητὰ ἔλειπε τὸ παθητά, πολλῷ ἂν εἴη ἄμεινον· ὑπάρχοντος δ' αὐτοῦ, πειρατέον προσθεῖναι μᾶλλον ἢ ἀφελεῖν.

Ἀμέλει γε τὸ τοῦ παθητὰ ἀντίστοιχον ἐξευρεῖν οὐ πολλῆς δεῖται σοφίας. Καὶ δὴ ὅ τε **Βυττενβάχιος**[2] καὶ ὁ **Βερναρδάκης** ἐν τῇ Τευβνερείῳ συνεπλήρωσαν ἀπαθῶν, ὁ μὲν Βυττενβάχιος ἀσυνδέτως παθητὰ ἀπαθῶν, ὁ δὲ Βερναρδάκης συνδέων μὲν τῷ καί, ἀντιστρέφων δὲ (καὶ ἀπαθῶν παθητά[3].)

Ἡμῖν δὲ δοκεῖ βραχυτέρᾳ μέν τινι καὶ ποικιλωτέρᾳ[4] συνδέσει χρήσασθαι, τὴν δὲ Βυττενβαχίου τάξιν τηρῆσαι· γράφομεν γὰρ παθητὰ δ' ἀπαθῶν. Οὐδὲ τὴν Βυττενβαχίου καὶ Ἐρουερδήνου μεταβολὴν θείων ἀντὶ θεῶν

---

1 Ἡ πρώτη (*ἔσοπτρα καλῶν καλά*), καίπερ ἀτελέστερον τῶν λοιπῶν δεδηλωμένη, οὐχ ἧττον ἀξία τοῦ ὀνόματος.

2 Ὁ **Βινκελμάννος** ἀναγράφει ἁπλῶς τὰς Ῥεισκίου καὶ Βυττενβαχίου γνώμας οὐδὲν ἴδιον ἀποφαινόμενος.

3 Τῷ Βερναρδάκῃ ἀκολουθεῖ καὶ **Ἐρουερδῆνος** ἐν Μνημοσύνης τόμ. ΚΑ', σελ. 103 κἑξ. (Ad Plut. Moralia).

4 ...... *μέντοι* ...... *δὲ* ...... *καί*.

ὑπολαμβάνομεν εἶναι ἀναγκαίαν· καλλίων γὰρ ἡ παρήχησις καλῶν, θεῶν, ἀπαθῶν, νοητῶν.

....

765c

καὶ ἅπτονται τοῦ ἤθους, ἐκκαλούμενος τὰς ὄψεις καθορῶσι.

Ὅτι μὲν ἡ τοῦ ἑνικοῦ ὀνομαστικὴ ἐκκαλούμενος ἀτόπως ἔχει, παντὶ δῆλον. Οὐ μέντοι γε μόνη αὕτη ἡ δυσχέρεια ἀπαντᾷ ἐν τῷ χωρίῳ, ἀλλὰ καὶ ἥ τε λέξις αὐτὴ ἐκκαλεῖσθαι οὐχ ἁρμόττουσα τυγχάνει καὶ ἡ περίοδος ἀσυνδέτως ἔχει, παρατακτικῶς δύο ῥημάτων κειμένων.

Καὶ ὁ μὲν **Ῥείσκιος** προὔτεινεν ἐκκλίνοντες τὰς ὄψεις καὶ καθορῶσι, ὁ δὲ **Βυττενβάχιος** διττῶς διορθούμενος γράφει «ἐκκεκαλυμμένοι τε τὰς ὄψεις» ἢ «ὅ, ἐκκεκαλυμμένοι τὰς ὄψεις, καθορῶσι.» Ὁ **Βινκελμάνος** ἀσπάζεται τὴν κατὰ Ῥείσκιον προσθήκην τοῦ καί.

Τῷ δὲ **Βερναρδάκῃ** (ἐν Τευβνερείου ἐκδόσει) κατὰ τὸ 671a «τὰ ὄμματα — ἐγκεκλάσθαι» δοκεῖ διορθωτέον ἐγκλώμενοί τε. Ἀλλὰ τί οὐ μᾶλλον ἀνακλώμενοι; Πρβ. 765e «ἀνάκλασις δήπου τὸ περὶ τὴν ἶρίν ἐστι τῆς ὄψεως πάθος» καὶ ἕτερα ἐν διορθώσει 766e.

Ἡ διὰ τοῦ «καὶ» ἢ τοῦ «τε» ἢ καὶ αὐτοῦ τοῦ «δὲ» σύνδεσις οὐ πολλῆς συστάσεως φαίνεταί μοι ἀξία· πάντως γὰρ τὸ καθορῶσι (κατὰ κανόνα) ἀντικειμένου τινὸς ἰδίου κατ' αἰτιατικὴν χρῄζει, ἅτε τοῦ προηγουμένου ῥήματος ἅπτονται ἀπαιτοῦντος καὶ ἔχοντος γενικήν. Ὅσον μὲν οὖν πρὸς τὴν σύνδεσιν, ἀποκλίνω μᾶλλον ἐπὶ τὴν Βυττενβαχίου συμπλήρωσιν (τὴν διὰ τοῦ «ὅ») θαυμάζων μόνον, τί μαθὼν ὁ ἀνὴρ οὕτω μακρὰν ἐπὶ τὸν παρακείμενον ἐκκεκαλυμμένοι κατέφυγεν, ἐξὸν τῷ ἐνεστῶτι χρῆσθαι· ἕτερον δ' ὅμως ῥῆμα παραλαμβάνων, ἤτοι τὸ ἅπαξ καὶ ἀμφιβόλως

ἀπαντῶν παρ' Ἡσυχίῳ ἐ κ κ η λ ο ύ μ ε ν ο ι ἢ μᾶλλον δήπου τὸ ἁπλοῦν κ η λ ο ύ μ ε ν ο ι[1], ῥᾷον ἂν οὑτωσὶ γράψειας: ὅ, κ η λ ο ύ μ ε ν ο ι τ ὰ ς ὄ ψ ε ι ς, κ α θ ο ρ ῶ σ ι.

. . . .

766c

καὶ γὰρ εἴδωλα δήπουθεν ἐνδυόμενα τοῖς ἐρωτικοῖς..... κινεῖν καὶ γαργαλίζειν τὸν ὄγκον.... συνολισθαίνοντα[2]... οὐ δυνατὸν μὲν ἀπὸ παίδων, ἀδύνατον δ' ἀπὸ γυναικῶν· καὶ τὰς καλὰς ταύτας καὶ ἱερὰς ἀναμνήσεις καλοῦμεν ἡμεῖς ἐπὶ τὸ θεῖον..... κάλλος, αἷς ψυχὴ πτεροῦται, τί[3] κωλύει γίνεσθαι[4] μὲν ἀπὸ παίδων..... γίνεσθαι[4] δὲ ἀπὸ.... γυναικῶν, ὅταν ἦθος..... διαφανὲς γένηται; (καθάπερ..... ἔλεγεν) ὅταν...... ἴχνη λαμπρὰ καὶ κείμενα[5].... καὶ ἄθρυπτα[6] κατίδωσιν οἱ δεινοὶ τῶν τοιούτων αἰσθάνεσθαι.

Ὁ μὲν νοῦς τοῦ χωρίου οὐδεμίαν παρέχει δυσχέρειαν,

---

1 Μετὰ χαρᾶς πλείστης ὅσης καὶ δικαίου φρονήματος ἐνταῦθα σημειοῦμαι ὅτι ἔτυχον συμφωνήσας τῇ γνώμῃ, ἣν **Ῥοίμερος** ὁ ἐπιφανὴς τῶν Ἑλληνικῶν γραμμάτων ἐν τῷ ἐν Ἐρλάγγῃ Πανεπιστημίῳ καθηγητὴς ἐξήνεγκε· πάλαι γὰρ ἐν ἀνεκδότῳ χειρογράφῳ κ η λ ο ύ μ ε ν ο ι διωρθώκει. Δραττόμενος δ' ἅμα καιροῦ μεγίστας καὶ δημοσίᾳ τῷ σεβαστῷ ἀνδρὶ ὁμολογῶ χάριτας, οὐκ ἔχων ὅπως ἀποδώσω καταξίας ἐφ' ᾗ μοι ἐν τῇ τῆς παρούσης πραγματείας κρίσει ἀπεδείξατο εὐμενεῖ φιλοφροσύνῃ.

2 **Βερναρδάκης** (ἐν τῇ Τευβνερείῳ· πρβ. Τόμ. Α'. πρόλογ. σελ. ϟΑ') γράφει τὸ δοκιμώτερον *συνολισθάνοντα*.

3 E: κενὸν δύο γραμμάτων κατὰ **Βινκελμάννον**, ἑνὸς δὲ ἢ δύο κατὰ Βερναρδάκην. Κατὰ Βινκελμάννον κοινὴ γραφὴ *τί οὖν*. Κατὰ Βερναρδάκην B. *τί οὖν*.

4 Βερναρδάκης προκρίνει τὸ *γίγνεσθαι*· ἀλλὰ γὰρ ἀπὸ μὲν τῆς γ' ἑκατονταετηρίδος καὶ ἑξῆς, εἴ γε δεῖ ταῖς ἐπιγραφαῖς τὸν νοῦν προσέχειν, ἀπαντᾷ μόνον τὸ *γίνεσθαι*· ἐν δὲ τῷ τῆς ῥωμαϊκῆς μοναρχίας χρόνῳ εὕρηται μὲν καὶ τὸ *γίγνεσθαι*, σπανιώτερον μέντοι τοῦ *γίνεσθαι* (πρβ. **Μειστεράνσιον** Γραμμ. τῶν Ἀττ. Ἐπιγραφῶν ἐκδ. β', σελ. 141, 20).

5 Κοινῶς *καὶ κείμενα*. Μεζ. Βυττ. Βινκ. *κείμενα*. Ῥείσκιος *ἐκκείμενα*.

6 BE Ἀλδ. Βασ. *θρυπτά*. Ὁ Βερναρδάκης προτείνει *κἄθρυπτα*.

περὶ δὲ τὴν σύνταξιν ὅμως καὶ πλοκὴν οὐκ ὀλίγας εὑρήσεις ἀνωμαλίας. Καὶ ἐνταῦθα ὁμοίωσίς τις πρόκειται τοῦ ἐκ τῶν καλῶν σωμάτων καὶ τοῦ ἐκ τῆς ἁγνῆς ψυχῆς ἐπερχομένου γαργαλισμοῦ· καὶ τὸ μὲν πρῶτον μέρος μέχρι τοῦ γ υ ν α ι κ ῶ ν ἐξικνεῖται, ἔστι δ' ἀριδήλως γνώμη Ἐπικούρειος, καθ' ἃ καὶ τελευταῖον ὁ **Β. Μύλλερος**[1] διὰ μακροτέρων ἐπραγματεύσατο· τὸ δὲ δεύτερον γνώμη Πλατωνική. περὶ ἧς καὶ κυρίως ἐνταῦθα ὁ λόγος τῷ Πατρί.

Φέρ' οὖν ἰδίᾳ ἑκάτερον ἐξετάσωμεν, τίνος που θεραπείας δεῖται. Ὁ **Ῥείσκιος** ἰδὼν τὸ ἀνώμαλον ἐπειράθη μὲν ἐπανορθῶσαι, γράψας μέντοι μόνον κ ι ν ε ῖ κ α ὶ γ α ρ γ α λ ί ζ ε ι εὐθὺς ἀπέγνω («caetera non expedio»). Ὁ δὲ **Βυττενβάχιος** ἀντὶ τ ο ῖ ς ἄ λ λ ο ι ς σ χ η μ α τ ι σ μ ο ῖ ς γράφει τ ο ῖ ς ἀ δ ή λ ο ι ς σ χ η μ. μετὰ δὲ τὸ γ υ ν α ι κ ῶ ν προστίθησιν ἥ κ ε ι ν[2]. Ὁ **Βινκελμάννος** καὶ **Δύβνερος** οὐδεμίαν παρέχονται ἰδίαν εἰκασίαν. Ὁ **Βερναρδάκης** ἐν μὲν Συμβολαῖς (σελ. 116) μεταβάλλει τὸ «ο ὐ δ υ ν α τ ὸ ν... ἀ δ ύ ν α τ ο ν» γράφων: **εἰ** δ υ ν **α** τ ὸ ν..... ο ὐ κ ἀ δ ύ ν α τ ο ν· ἐν δὲ τῇ Τευβνέρου ἐκδόσει καταλείπων πᾶσαν ἐπανόρθωσιν προσγράφει μόνον ἐρωτηματικὸν ἐν τέλει (μετὰ τὸ γ υ ν α ι κ ῶ ν).

Ἐμοὶ δὲ δοκεῖ ἠπιωτέραν τινὰ διόρθωσιν ἐπαγαγέσθαι, θετέον μὲν δηλονότι κατὰ Βερναρδάκην ἐρωτηματικὸν μετὰ τὸ γ υ ν α ι κ ῶ ν, ἀφαιρετέον δὲ τὸ «ἀ» τοῦ ἀ δ ύ ν α τ ο ν· εἴη δ' ἂν ὁ νοῦς τοῦ χωρίου ὅδε: «οὐ δυνατὸν μὲν ὁμοίως ἀπό τε παίδων καὶ γυναικῶν; Ναί. Οὕτως οὖν καὶ κλπ.» (ἀκολουθεῖ τὸ δεύτερον τῆς παραβολῆς μέρος). Ἔτι δ' ἴσως καὶ

1 Vindiciae Plutarcheae, diss. inaug. Vradisl. 1869 (πρβ. καὶ κρίσιν τῆς πραγματείας ἐν Philol. Angeiger τόμ. Β', 199). Ὀρθῶς φησιν ὁ Μύλλερος ὅτι καὶ ὁ Πλούταρχος διὰ τοῦ *καλοῦμεν ἡμεῖς* δηλοῖ ξένην εἶναι τὴν περὶ ἀτόμων δόξαν.

2 Τὸ *ἥκειν* τοῦτο δοκεῖ μοι παρέλκειν, ἅτε τοῦ ἀπὸ τόπου κινητικοῦ ῥήματος περιεχομένου ἐν τῷ *ἐνδυόμενα*. Ἐν τῇ γνώμῃ ταύτῃ ἔτυχον συμφωνήσας, ὡς νῦν ὁρῶ, τῷ Β. Μυλλέρῳ.

τὸ τοῖς ἄλλοις σχηματισμοῖς τρεπτέον εἰς ποικίλοις σχηματισμοῖς.

Καὶ τὸ δεύτερον δὲ τῆς ὅλης περιόδου μέρος οὐ μικρὰ παρέσχε πράγματα. Ὁ Ῥείσκιος μεταξὺ τοῦ νεανίσκων καὶ γίνεσθαι παρεμβάλλει οὐ[1] κατωτέρω δὲ γράφει λαμπρὰ ἐκκείμενα ψυχῆς ὀρθῆς καὶ ἀθρύπτου.

Καλλίστη μὲν ἡ Βυττενβαχίου διόρθωσις, ἀλλ᾽ οὐ μικρόν τι τοῦ παραδεδομένου ἐκτρέπεται· βούλεται γάρ: καὶ τὰς καλὰς...... ἀναμνήσεις καὶ ἀνακλήσεις ἐπὶ τὸ θεῖον..... πτεροῦται, οὐδὲν κωλύει.... γυναικῶν ὧν ἂν ἦθος..... γένηται (καθάπερ.... ἔλεγεν), ὅταν.....

Ὁ **Πφλούγκιος** ἀποδέχεται τὴν Βυττενβαχίου εἰκασίαν καὶ ἀνακλήσεις, κατωτέρω δὲ γράφει κατὰ τὸ Ε. (ἀλλ᾽ ἄνευ κενοῦ) τί κωλύει, ἐξαλειπτέον ἡγούμενος τὸ οὖν. Ὁ Β. Μύλλερος (ἴδε ἀνωτέρω) γράφει καὶ στίζει: ἀναμνήσεις, ὡς καλοῦμεν ἡμεῖς, ἐπὶ τὸ θεῖον...... κάλλος αἷς ψυχὴ πτεροῦται, τί οὖν κωλύει...... γυναικῶν, ὅταν ἦθος.....; γένηται; κομψὴν οἰόμενος εἶναι τὴν σύνταξιν ἐπὶ τὸ κάλλος..... αἷς..... πτεροῦται ἀντὶ αἷς.... πτεροῦται.... ἐπὶ τὸ.... κάλλος.

Ὁ **Πατζίγιος**[2] προτείνει ἀναμνήσεις καλούσας ἡμᾶς ἐπὶ...... παρακατιὼν δέ, ἵνα τὸ ἐν τῷ Ε. μεταξὺ τοῦ τί καὶ τοῦ κωλύει κενὸν ἀκριβῶς πληρώσῃ, γράφει τί δὴ κωλύει. Ὅτι μὲν οὖν ἡ μεταβολὴ καλούσας ἡμᾶς πάνυ μικρὰ τυγχάνει οὖσα, ὁμολογητέον· τὴν μέντοι μετοχὴν (καλούσας) ἄνευ μὲν τοῦ ἄρθρου χαλεπώτερόν πως νοῆσαι, ἔχοντος ἤδη αὐτὸ τοῦ ἡ-

---

1 Τί οὐχὶ μᾶλλον «μὴ» ἢ «μὴ οὐ» τότε;

2 Quaestiones Plutarcheae, Berol. 1876. Πρβ. καὶ κρίσιν αὐτοῦ ὑπὸ **Βινζίου** ἐν Burs. Jahresber. 1877.

γουμένου οὐσιαστικοῦ (ἀ ν α μ ν ή σ ε ι ς), σὺν δὲ τῷ ἄρθρῳ κειμένην εὕροι ἄν τις οὐ συνήθη, ἅτε εὐθὺς ἀναφορικῆς ἑπομένης προτάσεως (α ἷ ς ψ υ χ ὴ π τ ε ρ ο ῦ τ α ι)· ἄλλως δὲ καὶ καθόλου ἡ τῶν μερῶν θέσις καὶ πλοκή, δεκτῆς τῆς τοῦ Πατζιγίου γνώμης γιγνομένης, χαλαρά τις ἀποβαίνει καὶ ἄχαρις[1].

Ὁ δὲ **Βερναρδάκης** ἐν μὲν Συμβολαῖς ὧδε συμπληροῦται καὶ στίζει: ἀ ν α μ ν ή σ ε ι ς, ἃ ς ἀ ν α κ α λ ο ῦ μ ε ν (ἢ «ἀ ν α κ λ ῶ μ ε ν») ἡ μ ε ῖ ς.. ..τ ί ἂ ν κ ω λ ύ ο ι...... γ έ ν η τ α ι ; κ α ὶ κ α θ ά π ε ρ...... ἔ λ ε γ ε ν, ὅ τ α ν..... κ α τ ί δ ω σ ι ν....Ἐν δὲ τῇ Τευβνερείῳ: «κ α ί τ ο ι τ ὰ ς» ἢ «κ ε ί τ ὰ ς...ἃ ς ἀ ν α κ α λ ο ῦ μ ε ν ?.... τ ί ἂ ν κ ω λ ύ ο ι...... γ έ ν η τ α ι κ α ί, κ α θ ά π ε ρ. ...» ἢ «γ έ ν η τ α ι, κ α θ ά π ε ρ..... ἔ λ ε γ ε ν· ἢ ὅ τ α ν..... α ἰ σ θ ά ν ε σ θ α ι ;»

Ἐν τῇ ἐμῇ διορθώσει κατὰ δύο τινὰ ἔτυχον τῷ Βερναρδάκῃ συμφωνήσας 1ον) κατὰ τὴν τοῦ ἀναφορικοῦ ἃ ς προσθήκην καὶ τὴν πρὸ τοῦ κ α θ ά π ε ρ συμπλήρωσιν· ἐγεγράφειν γὰρ ἀ ν α μ ν ή σ ε ι ς ἃς ἀ ν α κ λ ή σ ε ι ς (ἢ «ἀ ν α κ λ ά σ ε ι ς») κ α λ ο ῦ μ ε ν καὶ κατωτέρω «ἤ. κ α θ ά π ε ρ» καὶ 2ον) κατὰ τὴν θέσιν τοῦ ἐρωτηματικοῦ. Καὶ περὶ μὲν τοῦ ἀ ν α κ λ ή σ ε ι ς παράβ. πρὸς τῷ Πλουτάρχῳ καὶ Πορφύριον πρὸς Μάρκελλαν 10: «Ἀφ' ὧν ὁρμώμενος καὶ ὁ θεῖος Πλάτων ἀπὸ τῶν αἰσθητῶν[2] ἐπὶ τὰ νοητὰ τὰς ἀ ν α κ λ ή σ ε ι ς πεποίηται»· καὶ τοῦ ἀ ν α κ λ ά σ ε ι ς[3] δὲ πολλά τις ἂν ἐπαγάγοιτο παραδείγματα, ἀρκείτω δὲ λόγου χάριν τὰ 765ef «ἀνάκλασις..... ἀνάκλασιν.. ... ἀνάκλασιν ποιεῖ τῆς μνήμης». Πλουτ. Ἠθ. 400b «ἀνακλάσει φωτὸς οὐρανίου», 409cd «ὡς γὰρ οἱ παῖδες ἴριδας. .. . ὁρῶντες γε-

---

1 Ἑλληνικώτερον ἂν δήπου δόξειεν «ἐπὶ τὸ θεῖον ἡμᾶς καλούσας· ἢ παραπλησίως πως γράψαι.

2 Πρβ. ἀνωτέρω διόρθωσιν 765b.

3 Καὶ ὁ Β. Μύλλερος μεμφόμενος τὴν Βυττενβαχίου γραφὴν *ἀναμνήσεις καὶ ἀνακλήσεις* συνίστησιν ὅμως τὸ *ἀνακλάσεις*.

γήθασι, καὶ οὗτοι..... τὰς ἀλληγορίας ἀνακλάσεις οὔσας πρὸς τὸ θνητὸν ἐπιποθοῦσι». Ἔτι δὲ ἵνα μὴ δύο ἀναφορικαὶ προτάσεις εἰς τὴν αὐτὴν λέξιν ἀναφερόμεναι συμπίπτωσιν (ἃς καλοῦμεν καὶ αἷς πτεροῦται), ἑλοίμην ἂν γράψαι: ᾧ (δῆλα δὴ «θείῳ κάλλει») ψυχὴ πτεροῦται[1]. Καὶ κατωτέρω δὲ ἀντὶ τῆς κοινῆς γραφῆς ἴχνη λαμπρὰ καὶ κείμενα γραπτέον ἴσως ἴχνη λαμπρὰ καὶ σημεῖα

CHMEIA
KEIMENA

Μετὰ ταύτας οὖν τὰς μικρὰς διορθώσεις ἀναγνοίην ἂν ὧδε: «καὶ γὰρ εἴδωλα[2]... ποικίλοις σχηματισμοῖς οὐ δυνατὸν μὲν ἀπὸ παίδων, δυνατὸν δὲ[3] ἀπὸ γυναικῶν; καὶ τὰς καλὰς ταύτας καὶ ἱερὰς ἀναμνήσεις ἃς ἀνακλήσεις καλοῦμεν ἡμεῖς ἐπὶ τὸ θεῖον... κάλλος, ᾧ ψυχὴ πτεροῦται, τί (ἢ «τί οὖν») κωλύει γίνεσθαι μὲν ἀπὸ παίδων γίνεσθαι δὲ ἀπὸ..... γυναικῶν, ὅταν ἦθος... διαφανὲς γένηται ἤ, καθάπερ.... ἔλεγεν, ὅταν.... ἴχνη λαμπρὰ καὶ σημεῖα... κατίδωσιν οἱ δεινοὶ τῶν τοιούτων αἰσθάνεσθαι;»

---

1 Ῥᾷστον γὰρ ἐκ τοῦ ᾧ γεγενῆσθαι αἷς.

2 Ἢ: «ὡς γὰρ εἴδωλα.... ποικ. σχημ. δυνατὸν μὲν ἀπὸ παίδων δυνατὸν δὲ ἀπὸ γυναικῶν, *καὶ* τὰς καλὰς κλπ.» Παράβ. τὸ ἀνωτέρω παράδειγμα 409cd «ὡς γὰρ οἱ παῖδες....... *καὶ* οὗτοι....»

3 Περὶ τῆς χασμωδίας *δὲ ἀπό*, ἐφ' ᾗ καὶ τὸν Μύλλερον ὁ ἐπικριτὴς ψέγει (ἐν Phil. Angeiger ἀνωτέρω), καὶ τῆς ἑκάστοτε νέας ἀνακυπτούσης ἀδείας χασμωδίας ἴσως ἂν ἄλλοθί που λόγον ποιησαίμεθα. Ὅρα Πλουτ. Περὶ Δυσωπίας ιϛ' (534 f) «ἐνίους γοῦν ὁρῶμεν οὐδὲ συγκροῦσαι φωνῆεντι (παρὰ Βερναρδάκῃ ἐν Τευβνερ. «οὐδὲ φωνῆεντι συγκροῦσαι») φωνῆεν ἐν τῷ λέγειν ὑπομένοντας» καὶ Πλουτ. Πότερον Ἀθηναῖοι κτλ. η' (350e) περὶ Ἰσοκράτους «ὁ φοβούμενος φωνῆεν φωνῆεντι συγκροῦσαι». Περὶ τῶν ἐν ἐμμέτροις ἐπιγραφαῖς καθόλου πρβ. καὶ **Φρ. Δ. Ἄλλεν** On Greek Versification in Inscriptions (Papers of the Amer. School at Athens 1888).

767c

ὥσπερ κενοῦ[1] συστάντος[2] . . . . . ὦ Δαφναῖε.

Δύο τινὰ ἐνταῦθα ἀπαντᾷ τὰ ἐρεύνης δεόμενα· καὶ τὸ μὲν κοινοῦ ἄριστα δοκεῖ **Βινκελμάννον** διωρθωκέναι. τοῦτο δὲ καὶ **Βερναρδάκης** ἐν τῇ Τευβνερείῳ παρέλαβε. Τὸ δὲ μετὰ τὸ συστάντος ἀληθὲς κενὸν εὖ ἐπ' ἴσης τὴν ἔννοιαν μετὰ **Μαδβίγιον** τῷ ἀγῶνος **Βερναρδάκης** ἀνεπλήρωσεν, εἰ καὶ ἐν 753b, ὅποι παραπέμπει, περὶ (κοινῆς) ὑποθέσεως ἀλλ' οὐ περὶ ἀγῶνος πρόκειται. Εἰς μέντοι τὸν ἀριθμὸν τῶν ἐλλειπόντων στοιχείων ἀποβλέπων μᾶλλον ἂν προτείναιμι, ὡς καὶ πάλαι πρὸ τῆς Βερναρδακείου ἐκδόσεως ᾔκασα, συστάντος (ἡμῖν) πολέμου· πρβ. Πλουτ. Αἰμιλ. ϛ' «συστάντος δὲ τοῦ πρὸς Ἀντίοχον τὸν μέγαν πολέμου» καὶ Ἰσοκρ. Πανηγυρ. 55a «μεγίστου γὰρ πολέμου συστάντος ἐκείνου».

Εἰ δέ τις κατὰ **Βυττενβάχιον** μηδὲν συμπληροῦσθαι βούλοιτο, αἱρετώτερον μηδὲν μεταβαλεῖν τοῦ παραδεδομένου[3] καὶ γὰρ ἂν ἄλλως ἄριστα τὸ Κοινοῦ Συμπολιτείας δύναμιν ἔχον νοηθείη (οἷον Κοινοῦ Βοιωτῶν κλπ.).

Τῆς ὑπὸ **Ῥεισκίου** προταθείσης ἀλλοιώσεώς τε καὶ συμπληρώσεως κοινῶν... ὥσπερ ἐράνου κοινοῦ συστάντος οὐ πάνυ τι δήπου χρεία ἀνασκευῆς.

1 Β. *κνοῦ*. Ε. *κ νοῦ*. Κατὰ Βινκελμάννον κοινῶς *κενοῦ*.

2 Μετὰ τὸ *συστάντος* κατὰ μὲν Βινκελμάννον κενὸν ἐν Β. 10 γραμμάτων, ἐν Ε. καὶ Ἀλδίν. 12, κατὰ δὲ Βερναρδάκην Ε. 10, Β. 8.

3 Περιττὴ ἡ Βυττενβαχίου εἰκασία ὡς *ὑπὲρ κοινοῦ συστάντες*

767c

ὦ Δαφναῖε, πρὸς ἐκείνους μαχόμεθα τοὺς λόγους.

Ὃ ἐγὼ τὴν **Ἀμυώτου**[1] διόρθωσιν ἀγνοῶν πάλαι μ α χ ώ μ ε θ α διώρθωσα, ἤδη **Βερναρδάκης**, ὡς ἄρτι εἶδον, παρ' αὐτοῦ ἐν τῷ κειμένῳ τῆς Τευβνερείου παρειλήφει· εὖ γε ποιῶν.

....

767de

οὐ γὰρ ἁπλῶς κοινὰ τὰ φίλων[2]. . . . . . ἀλλ' ἢ[3] τοῖς σώμασιν ὁριζόμενοι . . . . .

Ὁ **Ἀμυῶτος** καὶ ὁ **Βερνάρδυς**[4] γράφουσιν ἀ λ λ' ο ἳ.
Ὁ **Βυττενβάχιος** συμπληροῖ: φ ί λ ω ν, ἀ λ λ ὰ τ ο ύ τ ω ν μ ό ν ο ν[5] ο ἱ τ ο ῖ ς σ ώ μ α σ ι ν.

Ὁ **Βινκελμάννος** φαίνεται ἄμεινω κατὰ τὰ πρῶτα συμπλήρωσιν παρεχόμενος φ ί λ ω ν ο ὐ δ ὲ **π ά ν τ ω ν**, ἀ λ λ' ἢ ο ἳ τ ο ῖ ς σ ώ μ α σ ι ν.

Ὁ δὲ **Βερναρδάκης** ἐν μὲν Συμβολαῖς (σελ. 116) « φ ί λ ω ν ἄ λ λ ο ι ς, ἀ λ λ' ο ἳ» ἢ ἄνευ συμπληρώσεως «φ ί λ ω ν, ἀλλ' οἳ κέ.», ἐν δὲ Τευβνέρου ἐκδόσει παραλαμβάνων ἐν τῷ κειμένῳ τὸ πρῶτον ἥμισυ τῆς Βινκελμάννου συμπληρώσεως καὶ μνημονεύων πρὸς τῷ Πλουτ. Ἠθ 88b καὶ δεύτερον πα-

---

1 Περὶ Ἀμυώτου καθόλου πρβ. **Ὀ. Γρεάρδον**, De la Morale de Plutarque, ἔκδ. **Α'** (Paris 1866) σελ. 389.

2 Κατὰ Βινκελμάννον ἐν Ε 10, Β 12, ἐν Ἀλδ. πλειόνων γραμμάτων κενόν· κατὰ δὲ Βερναρδάκην Ε 9—10, Β 11.

3 Οὕτω (κατὰ Βινκελμ.) Β. Ε. Ἀλδ. Βασ. Κοινῶς δέ: *ἀλλ' οἱ*.

4 Συντ. σελ. 286.

5 *Μόνον* φέρεται παρὰ Βυττενβαχίῳ, οὐχὶ δέ, ὡς Βινκελμάννος φησί, *μόνων*.

ράδειγμα (Πλουτ. Ἠθ. 22c)[1] γράφει φίλων οὐδὲ πάντων ἀλλ' οἳ.

Ἔγωγε δὲ τὸ κενὸν οὐ πρὸ τοῦ ἀλλ', μετ' αὐτὸ δ' ἡγούμενος μᾶλλον εἶναι ὧδ' ἂν γράψαιμι: φίλων, ἀλλὰ τῶν ἐρώντων[2] οἳ τοῖς σώμασι κτλ. ἢ: φίλων, ἀλλ' [ἐκείνων οἳ καίτ]οι τοῖς σώμασιν ὁριζόμενοι[3].

....

767e

ἡ μὲν ἔξωθεν καὶ νομων[4] πλέον ἔχουσα τοῦ ἑκουσίου τὸ βεβιασμένον.

Ὁ Βινκελμάννος ἐξέδωκε νόμῳ ἀκολουθῶν τῷ **Οὐττένῳ** ἐξ εἰκασίας **Τουρνεβοῦ**[5] καὶ **Ῥεισκίου**.

Τὸ πρὸ τοῦ πλέον κενὸν ὁ **Βερναρδάκης** ἐν Τευβνέρου ἐκδόσει ἀναπληροῖ διττῶς «κἀκ νόμων οὐ φύσει» ἢ «καὶ νόμῳ φύσει δ' οὐ......»

Ἡμεῖς γε ἀποδεχόμενοι τὴν δοτικὴν νόμῳ ἁπλούστερον μὲν ἢ Βερναρδάκης, συνῳδὰ δὲ τοῖς ἐλλείπουσι γράμμασιν ἀναπληροῦμεν καὶ νόμῳ, πολλῷ (ἢ πολὺ) πλέον ἔχουσα τοῦ ἑκουσίου τὸ βεβιασμένον.

......

1 Πρβ. καὶ 769e «πολλῶν.... μᾶλλον δὲ πάντων, ὅσα...»

2 Ὁ λόγος ἐνταῦθα περὶ τῶν γάμῳ συνόντων καὶ ἀλλήλους ἐρώντων συζύγων (ἀνδρὸς καὶ γυναικός), μεγίστην δὲ τὸ χωρίον συγγένειαν ἔχει τοῖς ἐν «Ἐρωτικοῦ» 769f περὶ κράσεως σωμάτων καὶ ψυχῶν λεγομένοις καὶ τοῖς ἐν Γαμικοῖς Παραγγέλμασι § 34 («γάμος ὁ μὲν τῶν ἐρώντων ἡνωμένος καὶ συμφυής ἐστιν»).

3 Τὸ *καίτοι* συντάσσεται καὶ μετοχῇ.

4 Κοινῶς *νόμων* μεθ' ὃ ἐν Β. κενὸν 5, ἐν Ε. 4 γραμμάτων.

5 Κατὰ Βερναρδάκην ὁ Τουρν. ἔχει *πλέον καὶ νόμῳ*.

767f

καὶ ἀποδρᾶσα[1] *τῶν ἄλλων ἐραστῶν κρύφα*[2]. . . . .
μέγαν στρατὸν ᾤχετο κοσμίως.

Τὸ τοῦ κενοῦ σημεῖον ὁ **Βυττενβάχιος** ἡγεῖται μετὰ τὸ κοσμίως δεῖν θέσθαι.

Ὁ **Ῥείσκιος** ἤκασε τάδε: ἀποδράσασα κρύφα τὸν ἄλλων (ἢ «ἄλλον») ἐραστῶν μέγαν στρατὸν ᾤχετο εἰς Θεσσαλίαν καὶ συνῴκει (ἢ «συγκατεβίω») αὐτῷ κοσμίως. Ἀλλὰ τὴν τοῦ κοσμίως θέσιν ἐδικαίωσεν ἤδη πολλοῖς παραδείγμασιν ὁ **Βινκελμάννος**.

Ὁ **Βερναρδάκης** ἐν Τευβνέρου ἐκδόσει διττὴν παρέχεται συμπλήρωσιν **πολὺν ὅμιλον καὶ τῶν ἑταιρῶν** τὸν ἢ συντομώτερον καὶ τῶν ἑταιριδίων τὸν (κατ' Ἀθήν. 588e).

Ἔμοιγε δοκεῖ τὸ μὲν ἀποδρᾶσα ἀπολύτως ληπτέον (ἄνευ ἀντικειμένου, ὅπερ ἄλλως καὶ ἔξωθεν ἔστιν ὑπακοῦσαι), τὸ δὲ τῶν ἄλλων ἐραστῶν ἐκ τοῦ κρύφα ἐξαρτητέον. Οὕτω καταλειπομέναυ ἀμεταβλήτου τοῦ στρατόν, ὃ τῷ παρ' Ἀθηναίῳ[3] «πολὺν ἐραστῶν ἔσχηκεν ὅμιλον» ἀντιστοιχεῖ, συμπληρώσειεν ἄν τις ἰσαρίθμως τοῖς ἐλλείπουσι γράμμασιν «ἐραστῶν κρύφα καὶ γὰρ ἐδεδοίκει (ἢ «ἐδεδίκει γὰρ») τούτων τὸν μέγαν στρατὸν» ἢ «ἐραστῶν κρύφα καὶ γὰρ τοιούτων ἔσχηκε (ἢ «εἶχε») μέγαν στρατόν.»

. . .

1 *ἀποδρᾶσα* Ε. Κοινῶς *ἀποδράσασα.*

2 Κατὰ Βινκελμάννον ἐν Β. Ε. Ἀλδ. κενὸν 22 γραμμάτων. Κατὰ Βερναρδάκην (ἐν τῇ Τευβνερείῳ) 18 Ε, 20 Β.

3 Ἀθήν. 588e.

768^b

Κάμιμαν.

Κατὰ **Βινκελμάννον** ἐν Β. Ε. Ἀλδ. Βασ. φέρεται Κ ά μ ι μ α ν, οὐχὶ δέ, ὡς **Βυττενβάχιός** φησι Κ α μ ί μ α ν. Κατωτέρω 768^d ἀπαντᾷ Κ α μ ί μ α καὶ 768^e κατὰ δοτικὴν (Κ α μ ί μ ῃ Ἀλδ. Βασ. Κ α μ ί μ η Β. Ε.). Τὸ ὄνομα ἐν 257^e κέξ. (ὅπου ἡ αὐτὴ ἀναγράφεται ἱστορία) εὕρηται πολλάκις Κ ά μ μ α, ἐξ οὗ καὶ ἐνταῦθα ὑπὸ **Ξυλάνδρου** διωρθώθη.

Οὐ πολλῶν, ὡς ἐγῷμαι, χρῄζει λόγων ἵνα πείσῃ τὸν ἀναγνώστην ἡ ἐμὴ διόρθωσις Κ ά μ ι λ λ α ν, ἐξ οὗ πάντως προὔκυψε τὸ Κ ά μ ι μ α ν καὶ Κ ά μ μ α ν, καθάπερ παλαιογραφικῶς ἀποδείκνυται

ΚΑΜΙΛΛΑΝ
ΚΑΜΙΜΑΝ

οὕτω δ' ἀναλόγως ἡγοῦμαι γραπτέον πανταχοῦ

. . . . . .

769^a

οὐχ ἡδονῆς ἕνεκα· πόθεν[1]; ἀλλ' ὥσπερ . . . .

Οὕτως ὁ **Βινκελμάννος**, ὁ δὲ **Βερναρδάκης** παρενθέσει ἐγκλείων τὸ π ό θ ε ν καὶ οὐδὲν σημειούμενος γράφει ο ὐ χ ἡ δ ο ν ῆ ς ἕ ν ε κ α (π ό θ ε ν ;) ἀ λ λ' ὥ σ π ε ρ.

Ἁπλῇ τινι μέντοι διορθώσει πᾶσαν ἀπορίαν λύομεν ὧδε γράφοντες ο ὐ χ ἡ δ ο ν ῆ ς ἕ ν ε κ α δ ή π ο υ θ ε ν, ἀ λ λ' ὥ σ π ε ρ.

. . . . . .

1 Ε. *ἕνεκά ποθεν*. Ἀλδ. Βασ. *ἕνεκα πόθεν*.

769b

Ἀλλ᾽ ὥσπερ τοῦτο παιδομανία τὸ πάθος, οὐδέτερον δὲ Ἔρως ἐστίν.

Τὸ ἐλλιπὲς χωρίον ὁ **Βυττενβάχιος** συμπληροῖ κατὰ **Μεζιριάκον** καὶ **Ῥείσκιον** ἀ λ λ᾽ ὥ σ π ε ρ ἐ κ ε ῖ ν ο θ η λ υ μ α ν ί α, ο ὕ τ ω τ ο ῦ τ ο π α ι δ ο μ α ν ί α.

Ἄμεινον μέντοι μοι ἔδοξε ἀντιστρόφως συμπληρῶσαι, καθάπερ καὶ ὁ τοῦ λόγου εἱρμὸς ἀπαιτεῖ : ἀ λ λ᾽ ὥ σ π ε ρ τ ο ῦ τ ο π α ι δ ο μ α ν ί α, [ο ὕ τ ω ς ἐ κ ε ῖ ν ο θ η λ υ μ α ν ί α] τ ὸ π ά θ ο ς, ο ὐ δ έ τ ε ρ ο ν δ ὲ ἔ ρ ω ς ἐ σ τ ί ν· περὶ γὰρ τῶν φαύλων γυναικείων ἐρώτων μᾶλλον πρόκειται. Νῦν δὲ ὁρῶ καὶ **Βερναρδάκην** (ἐν τῇ Τευβνερείῳ) τῇ αὐτῇ ἤδη πλοκῇ κεχρημένον, πλὴν ὅτι ἀντὶ θ η λ υ μ α ν ί α γράφει γ υ ν α ι κ ο μ α ν ί α, ἧς καὶ **Βινκελμάννος** ποιεῖται μνείαν παρὰ Χρυσίππῳ ἀπαντώσης (κατ᾽ Ἀθήναιον ΙΑ´ 464a).

....

769bc

Ἄτοπον οὖν τὸ γυναιξὶν ἀρετῆς φάναι ....
ὅπου καὶ τὸ ἀνδρεῖον . . . . ἐν πολλαῖς ἐπιφανείαις· γέγονε δὲ πρὸς τὰ ἄλλα[1] κατὰ τὴν φύσιν αὐτῶν. ἀλλ᾽ ἢ ψέγοντας[2] εἰς μόνην φιλίαν ἀνάρμοστον ἀποφαίνειν παντάπασι[3] δεινόν.

Ἐν πολλοῖς δήπου βεβλαμμένον τὸ χωρίον. Ὁ **Ῥείσκιος** πολλὰ μεταβάλλων κατασκευάζει τάδε : «ἐπιφανὲς γέ-

1) Οὕτω Β. Ε. Ἀλδ. Ἐν δὲ Βασ. *ἐπιφανές γέγονε δὲ πρὸς τὰ ἄλλα κατὰ τὴν φύσιν αὐτῶν, ἀλλ᾽ ἢ ψέγονται* κέ. Κοινῶς *ἐπιφανὲς γέγονε πρὸς τὰ ἄλλα*
2 Οὕτω Β. Ε. Κοινῶς Ἀλδ. Βασ. *ἀλλ᾽ ἢ ψέγονται*.
3 Οὕτω Β. Ε. *παντάπασιν* Ἀλδ. Βασ.

γονε κατὰ φ. αὐταῖς ὄν. ἀλλ' εἰ καὶ ὀρθῶς π ρ ὸ ς (ἢ: «ε ἰ ς») τὰ ἄλλα ψέγονται, εἴς γε μόνην τὴν φιλ. ἀναρμόστους αὐτὰς ἀποφ. παντάπασι δεινόν.» Ὁ **Βυττενβάχιος** ἔγραψεν: «ἐν πολλαῖς ἐπιφανὲς γέγονε· πρὸς δὲ τὰ ἄλλα καλὰ τὴν φύσιν αὐτῶν, μὴ ψέγοντας, εἰς μόνην φ. ἀ. ἀποφαίνειν, παντάπασιν δεινόν.»[1] Τούτῳ δ' ἠκολούθησε καὶ **Οὔττεν**.

Ὁ δὲ **Βινκελμάννος** ἐν μὲν τῷ κειμένῳ γράφει «ἐπιφανὲς γέγονε; φάναι δὲ πρὸς τὰ ἄλλα καλὰ τὴν φύσιν αὐτῶν, ἀλλ' ἢ ψέγοντας εἰς μ. φ. ἀνάρμοστον ἀ. παντάπασι δεινόν[1]». Ἐν δὲ τοῖς Σχολίοις[2] διστάζων σημειοῦται ἐν τῷ π ρ ὸ ς τ ὰ ἄ λ λ α κ α λ ὰ ἐκ τοῦ ἀ ν ά ρ μ ο σ τ ο ν ὑπακουστέον εἶναι ἁ ρ μ ο σ τ ή ν.

Ὁ **Βερναρδάκης** ἐν μὲν Συμβολαῖς ἀναγράφων τὰ παρὰ Βυττενβαχίῳ καὶ Δυβνέρῳ γραπτέον ἡγεῖται «πρὸς δὲ τὰ ἄλλα καλὴν (ἢ «ἱ κ α ν ὴ ν») τὴν φ. αὐτῶν ἀλλά, ψέγοντας, εἰς μόνην φιλίαν κ.λ.π.» Ἐν δὲ τῇ Τευβνερείῳ γράφει «ἐπιφανὲς γέγονε; τὸ δὲ πρὸς τἆλλα καλὴν τὴν φ. αὐτῶν, ἀλλὰ ψέγοντας εἰς μόνην κ.λ.π.» ἐμμένων τῇ ἐν ταῖς Συμβολαῖς γνώμῃ σὺν προσθήκῃ τοῦ ἄρθρου τ ό· τοῦτο δ', ὡς ἔοικε, προσέθηκεν ἵνα μὴ τὸ δ ὲ παρὰ τὴν παραδεδομένην γραφὴν μετατεθῇ μετὰ τὸ π ρ ό ς.

Ὁ **Ἐρουερδῆνος**[3] κατὰ τὴν Βυττενβαχίου γνώμην γράφει «πρὸς δὲ τἆλλα καλὰ κλπ.».

Ἀλλ' εἰ τὴν ἐν ἀρχῇ παραδεδομένην στίξιν καὶ τὴν τοῦ δ ὲ θέσιν δεῖ τηρῆσαι, ἔτι δὲ καὶ μὴ δοῦναι ἄρθρον (τ ὸ) τῷ ἀ π ο φ α ί ν ε ι ν, γράψαιμ' ἄν, τἆλλα τῷ Βερναρδάκῃ συμφωνῶν « ὅπου καὶ τὸ ἀνδρεῖον. . . . ἐν πολλαῖς ἐπε-

---

1 Ὡσαύτως καὶ **Δύβνερος**, ἐγκλείων ἀγκύλαις [ ] τὸ *φάναι*.

2 Ἐνταῦθα (σελ. 236—7) ἔν τε τῇ γραφῇ Βασιλ. καὶ τῇ ἰδίᾳ γνώμῃ παρέλιπε τὸ *αὐτῶν*.

3 Lectiones Rheno-Trajectin. Lugd. Batav. 1882. Πρβ. ἀναγραφὴν τῶν διορθώσεων ἐν Bursians Jahresber. Bd. 30.

φάνη ; γεγονέναι δὲ πρὸς τὰ ἄλλα καλὴν τὴν φύσιν αὐτῶν, ἀλλὰ ψέγοντας εἰς μ. φ. ἀνάρμ. ἀποφαίνειν[1] παντάπασι δεινόν». Ἄλλως δὲ μικρὸν μετατιθέντας καὶ μεταβάλλοντας εὔλογον ἂν εἴη γράψαι : «ἐπιφανὲς γέγονε ; καλὴν (ἀντὶ «ἀλλ' ἢ») δὲ πρὸς τὰς ἄλλας ἀρετὰς (ἀντὶ «κατὰ») τὴν φύσιν αὐτῶν λέγοντας, εἰς μόνην φιλίαν κἐ.» ἢ «ἐπιφανὲς γέγονε ; πρὸς δὲ (ἢ «εἶναι δὲ πρὸς») τὰς ἄλλας ἀρετὰς τὴν φ. αὐτ. καλὴν λέγοντας, εἰς μόνην . . . . .»

....

770a

καὶ γὰρ ὁ νόμος βοηθεῖ, καὶ γεννήσεως κοινῆς καὶ τοὺς θεοὺς Ἔρωτος ἡ φύσις ἀποδείκνυσι δεομένους.

Ἡ περίοδος οὐχ ὁμαλῶς ἔχει. Ὁ **Ῥείσκιος** αἱρεῖται καὶ ἀνάγκῃ γεννήσεως, οὐδένα γε μὴν εὗρεν ἐγκρίνοντα τὴν ἀναπλήρωσιν ταύτην. Ἂν κατὰ χώραν ἐῶντες τὴν τῶν λέξεων τάξιν μὴ ἐξαλείψωμεν τὸ Ἔρωτος, πρόκειται ἡμῖν σύνταξις σπανιωτάτη[2] τοῦ δέομαι μετὰ γενικῆς τοῦ προσώπου (Ἔρωτος ὡς θεοῦ) καὶ γενικῆς τοῦ πράγματος (γεννήσεως κοινῆς). Ἀλλ' ἴσως μεταβλητέον τὴν θέσιν τοῦ τοὺς θεούς, γραπτέον δὲ «καὶ γεννήσεως κοινῆς καὶ[3] Ἔρωτος (ἢ «μετ' Ἔρωτος») καὶ τοὺς θεοὺς (ipsos deos) ἡ φύσις» ἢ : «καὶ τοὺς θεοὺς γενν. κοινῆς καὶ Ἔρωτος ἡ φ. ἀποδείκνυσι δεομένους»[4].

---

1 Τοῦ *ἀποφαίνειν* συντ. ἀπαρεμφάτῳ (*γεγονέναι*) ἔστι παραδείγματα, ἐν οἷς καὶ τὰ παρὰ Πλουτάρχῳ 105d καὶ 192c. Πρβ. Συναγ. Ἐπιγρ. Ἀττ. II 297. (ἔτ. 299/8 π. Χρ.)

2 Ξενοφ. Κύρ. Παιδ. 8, 3, 19.

3 Μὴ τῇ θέσει ταύτῃ ἀνήκει τὸ (μετὰ τὸ «οἱ ποιηταὶ λέγουσι») κατωτέρω *καί*, ὃ Ῥείσκιος ἀποβάλλει.

4 Παράβ. καὶ τὰ ἐν Πλάτ. Συμποσ. 188a ὑπ' Ἐρυξιμάχου λεγόμενα.

770b

οἶσθα τοὺς παιδικοὺς Ἔρωτας ὡς ἀβεβαιότατα πολλὰ λέγουσι καὶ σκώπτουσι λέγοντες, ὥσπερ ᾠὸν αὐτῶν τριχὶ διαιρεῖσθαι τὴν φιλίαν, αὐτοὺς δὲ νομάδων δίκην ἐνεαρίζοντας . . .

Τῇ **Ῥεισκίου** διορθώσει τοὺς παιδικῶν ἐρῶντας[1] ἀβεβαιοτάτους οἱ **πολλοὶ** λέγουσι οὐδείς, οἶμαι, ὅς συμφωνήσει. Οὐδ' ἀποχρῶν ἔοικεν εἶναι ὁ ὑπ' αὐτοῦ φερόμενος ἕνεκα τῶν ἑπομένων αὐτῶν καὶ αὐτοὺς λόγος.

Ὁ **Βινκελμάννος** ἀσμεναίτατα ἀποδεχόμενος παρέλαβεν ἐν τῷ κειμένῳ **τὴν** Βυττενβαχίου διόρθωσιν ὡς **εἰς** ἀβεβαιότητα, **εἴασε** δὲ τἆλλα· ὡσαύτως καὶ **Δύβνερος**.

Ὁ **Β. Μύλλερος** ἀναγράφων τὴν **Βυττενβαχίου** γνώμην ὡς εἰς ἀβεβαιότητα πολλοὶ ψέγουσι καὶ τὰς τῶν ἄλλων, ἐᾷ τὴν κοινὴν γραφὴν παρεντιθεὶς μόνον **μεταξὺ** τοῦ ἀβεβαιότατα καὶ τοῦ πολλὰ τὸ ἄρθρον τὰ, ἀποδίδωσι δὲ τῷ τὰ πολλὰ ἐπιρρηματικὰν δύναμιν· εὖ πραγματευόμενος ὁ ἀνὴρ περί τε τούτου καθόλου καὶ ἃ περὶ τοῦ ἀντικειμένου (ἔρωτας) τοῦ λέγουσι καὶ τοῦ κατηγορουμένου (ἀβεβαιότατα) καταλέγει. Πλὴν ἀλλ' ὅμως ἄστοχος δοκεῖ μοι εἶναι ἡ προσθήκη, ἀστοχώτερος δ' ὁ λόγος ὃν πρὸς ἀπόδειξιν τῆς ὑπὸ τοῦ ἀντιγραφέως παραλείψεως τοῦ τὰ ἐπάγεται ὁ Μύλλερος· φησὶ γὰρ ῥάδιον εἶναι κατιδεῖν πῶς μετὰ τὸ τέλος τῆς λέξεως ἀβεβαιότατα παρελείφθη τὸ ἄρθρον τά. Ἀλλὰ τοῦτο εἶχεν ἂν ὀρθῶς, εἰ μόνον εἰς ἓν τα ἔληγεν ἡ λέξις ἀβεβαιότατα, εἰς δύο δ' ὅμως τα τῆς λέξεως ληγούσης, ἄπορον τῷ ὄντι πῶς ὁ ἀνὴρ οὐκ

1 Ὡς οὐ φέρεται ἐν τῇ διορθώσει.

ἤσθετο τὸ τραχὺ καὶ ἥκιστα ἑλληνικὸν τῶν ἐν παρατάξει φθόγγων τ α τ α τ ά.

Ὁ **Βερναρδάκης** ἐν μὲν τῷ κειμένῳ γράφει ὥσπερ Βινκελμάννος καὶ Δύβνερος, ἐν σημειώσει δ' αἱρεῖται τὸ ψ έ γ ο υ σ ι

Ἐμοὶ δὲ δοκεῖ πρὶν τὴν τοῦ ε ἰ ς προσθήκην ἀποδέξασθαι ἄλλως δεῖν τῷ πράγματι ἐπιχειρεῖν, ὥς που καὶ Μύλλερος προτείνει, ὀρθότατα λέγων πρόληψιν ἐν τῇ συντάξει κεῖσθαι τοῦ λόγου. Καὶ ἐπάγεται μὲν παραδείγματα περὶ τῆς κατὰ πληθυντικὸν ἀριθμὸν ἐκφορᾶς τοῦ κατηγορουμένου, ὁμολογεῖ δὲ πλείω καθ' ἑνικὸν ὑπάρχειν. Κατὰ ταῦτα ἄμεινόν γ' ἔοικε γράψαι ὡ ς ἀ β ε β α ι ό τ α τ ο ν π ο λ λ ο ὶ λ έ γ ο υ σ ι.

Εἰ δ' αὖ τοῖς ὄντως ἱκανοῖς πειθόμενοι παραδείγμασιν, ἃ Βινκελμάννος ἐν τοῖς Σχολίοις (σελ. 240) παρατίθεται, τὴν ε ἰ ς προσθείημεν, ὧδ' ἂν μᾶλλον διορθώσαιμι : ὅ σ(α) ε ἰ ς ἀ β ε β α ι ό τ η τ α π ο λ λ ο ὶ λ έ γ ο υ σ ι ἢ λογιζόμενος μὲν ὅτι ἡ λέξις ἀ β ε β α ι ό τ η ς οὐδαμοῦ ἀπαντᾷ παρὰ Πλουτάρχῳ,[1] εἰρωνικῶς δὲ τὴν ἀντίθετον λέξιν[2] νοῶν, οὑτωσί: ὅ σ(α) ε ἰ ς β ε β α ι ό τ η τ α π ο λ λ ο ὶ λ έ γ ο υ σ ι.

....

1 Τῇ λέξει κέχρηνται Πολύβιος (παρὰ Σουΐδᾳ ἐν λ. «ἀθεσία»), Διόδ. ΙΔ', 9· πρβ. Φίλ. Ἰουδ. (δίς), Βασιλ. Διατάξ. (δίς).

2 Κατὰ τοῦτο καὶ ἡ Βινκελμάννου γραφὴ μεταβαλλομένη πιθανωτέρα ἂν ἀποβαίη τοῖς τὸ *πολλὰ* ἀσπαζομένοις, μεταβολῆς τοῦ κειμένου μᾶλλον ἢ προσθήκης γιγνομένης : *ὡς εἰς βεβαιότητα πολλὰ λέγουσι.*

770[bc]

ἔτι δὲ φορτικώτερον ὁ σοφιστὴς Βίων τὰς τῶν καλῶν τρίχας Ἁρμοδίους ἐκάλει καὶ Ἀριστογείτονας, ὡς ἅμα καλῆς τυραννίδος ἀπαλλαττομένους ὑπ' αὐτῶν τοὺς ἐραστάς.

Πολλοῖς τὸ χωρίον παρέσχε πράγματα. Καὶ ὁ μὲν **Ῥείσκιος** προὔτεινεν ὡς ἅμα τμηθέντων (ἢ «κοπέντων»)[1]. Ὁ **Βινκελμάννος** εἰκάζει: ὡς ἅμα κεκαρμένων ἐνδοιάζων καὶ ἄλλα περὶ τοῦ ἀποφθέγματος τούτου παράδοξα μαντευόμενος τάδε «ὡς ἅμα ἀλλαγῇ» (δηλ. τριχῶν) ἢ «ἅμα (ἀπ)αλλαττομένων τυρανν. ἀπαλλατομένους...»

Ὁ δ **Ἐμπέριος** ἐπαινῶν τὴν Ῥεισκίου ἑρμηνείαν προκρίνει «ὡς ἅμα καρεισῶν» ἢ «ὡς ἅμα κάρσει».

Ὁ **Μαδβίγιος** ἐν τῷ ἅμα καλῆς ὑποτοπεῖ ἀντίθετόν τι ἐπίθετον, ἀλλ' ἐξευρίσκειν οὐκ ἔχει· γράφει δ' ἐρωτῶν ἐν παρενθέσει (ὠμοτάτης τυραννίδος?).

Ὁ **Βερναρδάκης** (ἔν τε Συμβολαῖς καὶ ἐν Τευβνέρου ἐκδόσει) λέγει: ἴσως διορθωτέον ὡς ἂν ἁπαλῆς.

Ὡς μὲν οὖν αἱ εἰρημέναι προτάσεις οὐδὲν τὸ πρᾶγμα προήγαγον, οὐ πάνυ δεῖ με λέγειν, οὐδ' αὐτῶν ἑκάστην ἀνασκευάζειν. Ῥᾷον δ', ἔμοιγε κριτῇ, τὸ χωρίον νοῆσαι, ἣν μικρὸν κατωτέρω (770c) ἀναγνῶμεν. Ὁ λόγος περὶ τῶν φαύλων ἐραστῶν, οἳ «γενειῶντα τὸν ἐρώμενον οὐκέτι περιβάλλουσι»[2] καὶ περὶ τῶν γνησίων, οἵπερ «ἄχρι τάφων καὶ μνημάτων» παραμένουσι. Τοιαῦτα δὲ λογιζομένῳ ἔστιν εἰκάσαι τὸ «τρίχας» οὐ περὶ τῆς κόμης ἐνταῦθα εἰλῆφθαι, ἀλλὰ

---

1 Διωρθώθη ἤδη ὑπὸ Βινκελμάννου *τμηθεισῶν* καὶ *κοπεισῶν*.

2 Παράβ. τὰ ἐν Πλατ. Συμποσ. 180a ὑπὸ Φαίδρου λεγόμενα περὶ τοῦ Ἀχιλλέως ὡς ἀγενείου καὶ τὰ ὑπὸ Παυσανίου (αὐτόθι 183e) «ἅμα γὰρ τῷ τοῦ σώματος ἄνθει λήγοντι, οὗπερ ἤρα, οἴχεται ἀποπτάμενος.»

περὶ τοῦ γενείου· γραπτέον δὲ ἴσως: ὡς ἅμα καλῆς τυραννίδος ἀπαλλαττομένους ἀπ' αὐτῶν[1] (δηλ. τῶν καλῶν) τοὺς ἐραστάς. Ὁ δὲ νοῦς τοῦ χωρίου εἴη ἂν «ἅμα τῷ γενείῳ φυομένῳ τῶν παιδικῶν, παύονται ἐρῶντες καὶ δὴ τυραννούμενοι οἱ ἐρασταί», οἱ φαῦλοι δηλονότι· ταῦτα γὰρ (εὐθὺς ὁ Πατὴρ φησιν) οὐ δικαίως κατηγορεῖται τῶν γνησίων ἐραστῶν. Περὶ δὲ τῆς συντάξεως «ὡς τυρ. ἀπαλλαττομένους ἀπ' αὐτῶν» παράβ. τὸ ἐν 750f «ὥσπερ εἰς Κυνόσαργες συντελοῦντα τὴν γυναικωνῖτιν» καὶ ἅπερ τοῦ χωρίου τούτου Βινκελμάννος (ἐν τοῖς Σχολίοις) σελ. 111 εἴρηκεν.

Εἴη δ' ἂν καὶ ἄθικτον ἐᾶν τὸ χωρίον ἀποδιδόντας ἣν εἰρήκαμεν δύναμιν τῷ «τρίχας».

....

770c

τῶν καλῶν καὶ τὸ μετόπωρον ἐκδέχεται μόνον[3] οὐδὲν πολιῶσα[4] ἀκμάζων καὶ ῥυτίσιν, ἀλλ' ἄχρι τάφων καὶ μνημάτων παραμένει.

Βαρέως τετρωμένον τὸ χωρίον παραδέδοται ἡμῖν. Πρὸ τοῦ ἐκδέχεται ὑποπτεύει τι ἐλλείπειν ὁ **Ῥείσκιος**,

1 «Ἀπαλλάσσειν *ἀπό* τινος» λέγεται παρὰ Δ. Κασσ. 43,92 καὶ (ἀμεταβ.) παρ' Ἡροδότῳ 5,63.

2 Οὐδὲν κενὸν ἔχουσι Β. Ε. Ἀλδ. Βασ. Πλὴν Ῥεισκίου προστίθενται πάντες *καλὸν* (ἐκ τοῦ παρὰ Πλουτ. Ἠθ. 177a).

3 Ἐν Β. κενὸν 13 γραμμάτων, ἐν Ἀλδ. ὀλίγῳ πλειόνων. Ἐν Βασ. ἀστερίσκος. Ἐν Ε. οὐδὲν κενοῦ ἴχνος.

4 *Οὐδὲν πολιῶσα* Β. Ε. Ἀλδ. Κοινῶς *οὐδ' ἐν πολιαῖ*. Βασ. *οὐδὲν πολιαῖς* αλμάσ. *οὐδ' ἐν πολιαῖς*.

τὰ δ' ἑξῆς μικρὸν μεταβάλλων γράφει μ ό ν ο ν ο ὐ δ' ἐ ν π ο λ ι α ῖ ς ἀ π α κ μ ά ζ ο ν. . . . Εἰ δὲ νῦν καὶ τὸ κ α λ ὸ ν πρὸ τοῦ ἐ κ δ έ χ ε τ α ι προσγράψαιμεν, εὖ ἂν ἔχοι καὶ ὁμαλῶς, κακὸν δ' ὅμως ἐν τῇ τοιαύτῃ συμπληρώσει ἔγκειται τόδε · ἢ γὰρ ἂν τότε τὸ Εὐριπίδειον ῥητὸν μακρότερον γένοιτο, ἢ ἅμα τοῖς Πλουτάρχου λόγοις πέρα τοῦ εἰθισμένου μιγείη.

Ὁ **Βυττενβάχιος** εἰκάζει : κ α λ ό ν· ἐ γ ὼ δ ὲ φ η μ ὶ ὅ τ ι ὁ τ ῶ ν γ υ ν α ι κ ῶ ν τ ῶ ν κ α λ ῶ ν κ α ὶ σ ω φ ρ ό ν ω ν Ἔ ρ ω ς ο ὐ μ ό ν ο ν ἐ ν γ ή ρ ᾳ ο ὐ δ' ἐ ν π ο λ ι α ῖ ς[1].

Ὁ **Βινκελμάννος** ἐν μὲν σελίδι 66ῃ ὑποσημειοῦται πρὸ τοῦ ἐ κ δ έ χ ε τ α ι λείπειν Ἔ ρ ω ς δ έ, ἐν δὲ σελ. 241ῃ ἀναφερόμενος εἰς τὰ ἐκ τοῦ «Περὶ Ἔρωτος» τοῦ Πλουτάρχου (παρὰ Στοβαίῳ Ἀνθολ. 64, 32) λεγόμενα συμπληροῦται ὧδε : ἐ κ δ έ χ ε τ α ι ο ὐ δ' ἐ ν γ η ρ ῶ σ ι ν ἀ ν α π α υ ό μ ε ν ο ς, μ ό ν ο ν ο ὐ κ ἐ ν π ο λ ι α ῖ ς ἀ κ μ ά ζ ω ν κ α ὶ ῥ υ τ ί σ ι ν, ἀ λ λ' ἄ χ ρ ι τ ά φ ω ν κ α ὶ μ ν η μ ά τ ω ν π α ρ α μ έ ν ε ι, οὕτω δὲ καὶ γέγραφεν ἐν τῷ κειμένῳ· ὁμολογεῖ μέντοι οὐ στέργειν τὸ ἐ κ δ έ χ ε τ α ι.

Ἡ τοῦ Βινκελμάννου γνώμη δυσί τισι μάλιστα χωλαίνει α') ὅτι πλείω τῶν ἐν τῷ χειρογράφῳ Β ἴσως δὲ καὶ τῶν ἐν Ἀλδ. ὁριζομένων προστίθεται γράμματα β') ὅτι τὸν Ἔρωτα καθόλου ἐνοεῖ, δέον περὶ τοῦ γυναικείου ἰδίᾳ λόγον γίγνεσθαι ἢ γοῦν περὶ τοῦ γνησίου Ἔρωτος, ἀντιθέτως τοῖς περὶ τοῦ φαύλου ἀνωτέρω εἰρημένοις. Ἔτι δέ, εἰ καὶ οὐκ ἀδύνατον, ἀλλά γε χαλαρὸν δύο μετοχὰς ἀσυνδέτως παρ' ἀλλήλαις κεῖσθαι (ἀ ν α π α υ ό μ ε ν ο ς—ἀ κ μ ά ζ ω ν).

Τῷ δὲ **Πφλουγκίῳ** δοκεῖ γραπτέον : κ α λ ό ν. ὁ δ ὲ γ υ ν α ι κ ῶ ν μ ό ν ο ν ο ὐ κ ἐ ν π ο λ ι α ῖ ς ἀ κ μ ά ζ ω ν κ α ὶ ῥ υ τ ί σ ι ν ἄ χ ρ ι τ ά φ ω ν. . . . π α ρ α μ έ ν ε ι.

---

1 Τὸ τελευταῖον φησιν ἐκ Βασ. Ξυλ. διωρθωκέναι.

Παραλείπει δηλονότι ὅλως οὐ μόνον τὴν λέξιν ἐκδέχεται, ἀλλ' οὐδὲ τὴν Ἔρως γράφει, ἧς οὐδεμία γε δήπου πρότερον μνεία γέγονε.

Ὁ **Βερναρδάκης** ἐν Τευβνέρου ἐκδόσει, ἐν μόνῳ τῷ Β. κενὸν λέγων ὑπάρχειν συμπληροῦται: τῶν καλῶν καὶ τὸ μετόπωρον [καλόν. Ἐγὼ δ' ἂν φαίην ὅτι τῶν καλῶν καὶ σωφρόνων γυναικῶν ὁ ἔρως τὸ μετόπωρον] οὐκ ἐνδέχεται μόνον οὔτ' ἐν πολιαῖς (ἢ «οὐδὲν γήρᾳ, οὐδὲν πολιαῖς») ἀπακμάζων καὶ ῥυτίσιν κἑ. Προδήλως ὁ Βερναρδάκης προέθετο τὰ πάντα συμπεριλαβεῖν, ἐν γένει μὲν τῇ Βυττενβαχίου συμπληρώσει ἀκολουθῶν, μάλιστα δὲ τῇ μεθόδῳ τοῦ δι' ὁμοίων λέξεων (μετόπωρον .... μετόπωρον) συμπληροῦν· οὕτω δὲ κατώρθωσεν οὐχ ἁπλῶς γράμμασι 13 τὸ τοῦ Β. κενὸν πληρῶσαι, ἀλλὰ λέξεσιν ὅλαις ἑκκαίδεκα· καὶ μὴν οὐδ' εὐκρινής, ἐμοὶ δοκεῖν, ἐν πᾶσιν ἡ συμπλήρωσις τυγχάνει οὖσα.

Πειρατέον οὖν τοσαῦτά που μόνον προσθεῖναι ὅσα τὸ χειρόγραφον Β. κελεύει, ὡς οἷόν τ' ἐλάχιστα τῶν ἄλλων μεταβάλλοντας. Μετὰ μὲν γὰρ τὸ μετόπωρον πάντως τὸ καλὸν δεῖ ἐπαναγαγεῖν,[1] τὰ δὲ λοιπὰ ὧδ' ἴσως γραπτέον: «ἐνδέχεται δὲ μόνος ὁ γυναικεῖος (ἢ «γυναικῶν» ἢ «γνήσιος») Ἔρως οὐδ' ἐν πολιαῖς ἀπακμάζειν καὶ ῥυτίσιν, ἀλλ' ἄχρι τάφων καὶ μνημάτων παραμένει(ν)»· ἤ: «ἐνδέχεται δ' ὁ γυναικεῖος (ἢ «γυναικῶν» κλπ.) Ἔρως μόνον οὐκ ἐν πολιαῖς ἀκμάζειν κλπ.».

....

[1] Περὶ τοῦ κατὰ συνέχειαν γράφεσθαι τὰ διαλείποντα πρβ. καὶ **Ῥιχ. Φόλκμαννον** Leben, Schriften und Philosophie des Plutarch von Chaeronea (Berl. 1869), Α΄, σελ. 103.

771[a]

δεῖται δὲ αὐτῆς ὀλίγον ἐμμεῖναι τῷ πένθει, καὶ μηδὲ[1]. . . . πιθανὴν ἐν τῇ προσποιήσει γενέσθαι.

Ὁ **Ῥείσκιος** προτείνει «καὶ μηδέν τι ἧττον πιθανήν» ἢ «καὶ μηδὲν παραλείπειν, ὥστε πιθανὴν κλπ.»

Ὁ **Βυττενβάχιος** μηδὲν ἀνιέναι, ἀλλὰ πιθανὴν κλπ.

Ὁ **Βινκελμάννος** ἀναγράφων τὰ τῶν χειρογράφων Β. Ε. καὶ τὰς δύο εἰρημένας γνώμας οὐδὲν ἴδιον ἐπιλέγει.

Ὁ δ' **Ἑρουερδῆνος** προτείνει: δεῖται δ' αὐτῆς ὀλίγον ἐμμεῖναι τῷ πένθει καὶ μηδὲν ἧττον πιθανὴν ἐν τῇ προσποιήσει γενέσθαι (δηλ. «ἢ ἐν τῷ ἀληθινῷ πένθει ἐγένετο.»).

Ὁ **Βερναρδάκης**(ἐν Τευβν.) συμπληρωτέον διττῶς ἡγεῖται τὸ χωρίον: ἢ «καὶ μηδὲν ὅλως παραλιπεῖν ὥστε» ἢ «καὶ μηδὲν δράματος ἐλλείπειν ὥστε» ἐπαγόμενος τὸ ἐν ἀρχῇ τοῦ Ἐρωτικοῦ 749[a] παράδειγμα «τά τε ἄλλα δράματος οὐδὲν ἐλλείπει»· καὶ ἡ μὲν πλήρωσις τοῦ κενοῦ κατὰ τὴν τελευταίαν γνώμην συμφωνεῖ ἀκριβέστατα τοῖς ὑπὸ τοῦ χειρογράφου Β. ἀπαιτουμένοις 22 γράμμασι τὸ ἐκ τοῦ 749a ὅσως εἰλημμένον παράδειγμα, ἄριστα ἐκεῖ ἔχον, ἥκιστα ἐνταῦθα ἁρμόττει. Τοῦ γὰρ εἱρμοῦ τοῦ λόγου ἐπιτάσσοντος ἐν τῷ προκειμένῳ χωρίῳ (771[a]) προσωπικῶς τὸ ἐλλείπειν νοῆσαι (καὶ γὰρ ἐκ τοῦ δεῖται αὐτῆς ἐξήρτηται), εἴ τις τὸ προτεινόμενον μηδὲν δράματος ἐλλείπειν παραβαλεῖ τῷ «οὐδὲν προθυμίας ἐλλείπων», ὃ καὶ ἐν τοῖς ἐπ' ἀρχαίων λίθων ψηφίσμασι πολλάκις ἀπαντᾷ, παραχρῆμα ὄψεται ὅτι ἡ προτεινομένη συμπλήρωσις οὐχ ἁρμόττουσα τυγχάνει ἐνταῦθα.

1 ΒΕ. *καὶ μὴ δὲ* μεθ' ἃ ἐν μὲν Β. κενὸν 22 γραμμάτων, ἐν δὲ Ε. 19 γραμμάτων.

Συμπληρωτέον μὲν οὖν κατὰ Βυττενβάχιον καὶ μηδὲν ἀνιέναι, ἑξῆς δὲ προὔτεινα ἂν τοῦ πένθους, εἰ μὴ εὐθὺς προήγητο ἡ λέξις («πένθει» κατωτέρω γε μέντοι χωρῶν («παρὰ τῆς γυναικὸς συνετραγῳδεῖτο τῇ δόξῃ τοῦ πάθους» 771a) καὶ τὴν λέξιν πάθους παραλαμβάνων γράφω τὰ καὶ τοῖς ὑπὸ Β. καὶ Ε ἀπαιτουμένοις γράμμασιν ἀκόλουθα: δεῖται δὲ αὐτῆς ὀλίγον ἐμμεῖναι τῷ πένθει καὶ μηδὲν ἀνιέναι τοῦ πάθους, ὥστε πιθανὴν ἐν τῇ προσποιήσει γενέσθαι.

. . . .

771a

ὀλίγον ἀπέδει συζῆν[1] ἐν ᾅδου τῷ ἀνδρὶ πλὴν[2] ἑξῆς ἑπτὰ μηνῶν.

Ὁ **Ῥείσκιος** προτείνει: πλὴν ἓξ ἢ ἑπτὰ μηνῶν, ὁ δὲ **Βυττενβάχιος** πλεῖον ἑξῆς ἑπτὰ μηνῶν. Ἐκ τούτων ὁ **Βινκελμάννος** γέγραφεν ἐν τῷ κειμένῳ: τῷ ἀνδρὶ πλέον ἓξ ἢ ἑπτὰ μηνῶν, ἔπειτα μέντοι ἐν τοῖς Σχολίοις καταλιπὼν τὴν Ῥεισκίου εἰκασίαν προείλετο πλέον ἑξῆς ἑπτὰ μηνῶν.

Ὁ δὲ **Βερναρδάκης** ἐν τῇ Τευβνερείῳ φησὶ τὸν Πλούταρχον ἴσως τῷ ἀττικῷ τύπῳ πλεῖν[3] κεχρῆσθαι. Κἀγὼ δὲ πρὸ τῆς ἐκδόσεως ταύτης ἔτυχον γεγραφὼς πλεῖν ἑξῆς ἑπτὰ μηνῶν.[4]

---

1 Κατὰ Βινκελμάννον: «*συζῆν* Βυττ. ἐκ τῶν Β. Ε. Κοινῶς *συνεῖναι*. Ἀλδ. *συνῆν*».

2 Κατὰ Βινκελμάννον: κοινῶς *πλήν*. Κατὰ Βερναρδάκην (ἐν τῷ προλόγῳ τοῦ α' τόμου τῆς Τευβνερείου σελ. να') ΒΕ *πλήν*.

3 Πρβ. καὶ Πλάτ. Συμπόσ. 175e καὶ 214a.

4 Τάκιτ. Ἱστορ. Δ', 67 «vitam per novem mox annos traduxerit» καὶ Δίων Κάσσ. ΞϚ', 3 «ἐννέα ἔτη». Πρβ. καὶ ἑξῆς 771c.

771c

Ἀποκτείνει μὲν οὖν αὐτὴν ὁ Καῖσαρ.

Αὐτὸ μὲν καθ' αὐτὸ τὸ χωρίον οὐδὲν τὸ δυσχερὲς παρέχει. Εἰ δὲ τοῖς προειρημένοις παραβληθείη, ἀποτόμως ἥκειν δόξει· τῆς γὰρ Ἐμπονῆς[1] μόνης Πλούταρχός φησι τὸν Οὐεσπασιανὸν θάνατον καταγνῶναι, ὅτι δὲ καὶ τὸν ἄνδρα ἅμα Σαβῖνον Οὐεσπασιανὸς ἀπέκτεινεν, οὐδαμῶς ὑπὸ τοῦ συγγραφέως λέγεται.

Ὅθεν ἴσως λείπει τι ἐνταῦθα,[2] γραπτέον δ', ὡς εἰκάσαι: ἀποκτείνει μὲν οὖν ἅμα τῷ ἀνδρὶ καὶ αὐτὴν ὁ Καῖσαρ ἤ τι παραπλήσιον.[3]

---

1 Ὁ Ἀμυῶτος (κατὰ Βερναρδάκην) γράφει *Ἐμπονίναν*. Ὁ Σαλμάσιος ἔχει *Σεμόνην*. Τὴν ἱστορίαν ταύτην διηγοῦνται, ὡς γνωστόν, καὶ Τάκιτος καὶ Δίων Κάσσιος, παρ' οἷς τὸ τῆς γυναικὸς ὄνομα *Epponina* καὶ *Πεπονίλλα* φέρεται (Ταχ. Ἱστορ. Δ', 67, πρβ. 55 καὶ 57. Δίων Κάσσ. ΞϚ', 3 καὶ 16.) Ἐν τοῖς τελευταίοις τῶν περὶ τούτου γραψάντων μνημονευθήτω **Gœrres** : Zur Kritik einiger Quellenschriftsteller der röm. Kaiserzeit ἐν Φιλολόγου τόμ. 39ῳ, σελ. 459 κἑξ., ὅπου ἀποδείκνυται ὅτι ἀληθὴς μέν ἐστιν ἡ διήγησις, Ἰούλιος δ' ὑπὸ τοῦ συγγραφέως ὁ Τούτωρ νοεῖται. Κρίσιν τῆς πραγματείας ταύτης ἔγραψεν **Εἴνζιος** ἐν Bursians Jahresber. τόμ. 21ῳ, σελ. 85.

2 Εἰ καὶ μάλιστα περὶ τῆς γυναικὸς ὁ λόγος τῷ Πλουτάρχῳ.

3 Ἢ : *συναποκτείνει μὲν οὖν* κατὰ τὸ Δ. Κασσίου : «συναπέθανε δὲ αὐτῷ καὶ ἡ γυνὴ Πεπονίλλα»

ΠΙΝΑΞ ΧΩΡΙΩΝ

ΒΙΟΣ

Πατρὶς μέν μοι ἐστι Δημητζάνα κώμη τῆς Ἀρκαδίας, ἐγεννήθην δ' ἐν Πύργῳ τῆς Ἤλιδος ἐν ἔτει 1857ῳ ἐκ πατρὸς μὲν Ἰωάννου Λεονάρδου ταχυδρομικοῦ ἐπιστάτου, μητρὸς δὲ Σοφίας τὸ γένος Καστόρχη. Τυγχάνω δ' ὢν μέλος τῆς Ἑλληνικῆς Ἐκκλησίας.

Τὰ μὲν πρῶτα μαθήματα ἐν τῷ Δημοτικῷ καὶ Ἑλληνικῷ σχολείῳ Δημητζάνης, τὰ δὲ λοιπὰ ἀπὸ τοῦ ἔτους 1870 — 74 ἐν τῷ Α΄ Γυμνασίῳ Ἀθηνῶν διδαχθεὶς ἀπεγραψάμην εἰς τοὺς φοιτητὰς τοῦ Ἀθήνησι Πανεπιστημίου, ἐν ᾧ ἐσπούδασα περὶ τὴν Ἰατρικὴν ἀπὸ τοῦ 1874—79. Τυχὼν δὲ τοῦ διδακτορικοῦ πτυχίου τῆς τῶν Ἰατρῶν Σχολῆς μετέβην εἰς Βίενναν τῆς Αὐστρίας, ἔνθα ἀπογραψάμενος εἰς τοὺς φοιτητὰς τῆς Φιλοσοφικῆς Σχολῆς τοῦ αὐτόθι Πανεπιστημίου διέτριψα τὰ μαθήματα ἀκροώμενος ἐπὶ τέσσαρα σχεδὸν ἔτη.[1] Μετὰ δὲ ταῦτα τὸ τῆς Σχολῆς ἀποφοιτητήριον λαβὼν ἐπανῆλθον Ἀθήναζε, ὅπου ἐπὶ ἓν ἔτος ὑπηρέτησα παρὰ τῇ Ἀθήνησιν Ἀρχαιολογικῇ Ἑται-

1 Ἐνταῦθα καιροῦ λαβόμενος πλείστας Σχενκλίῳ, τῷ ἐν τῷ Πανεπιστημίῳ περιφανεῖ καθηγητῇ, λέγω χάριτας τῆς παντοδαπῆς εὐνοίας καὶ ἀρωγῆς, ἧς παρ' αὐτοῦ τοῖς μαθήμασι σχολάζων ἔτυχον.

ρείᾳ· τοῦ δ' ἐπιόντος ἔτους 1885ου κατασταθεὶς Βασιλικῷ Διατάγματι ὑπὸ τῆς Κυβερνήσεως Ἔφορος τῶν Ἀρχαιοτήτων διατελῶ μέχρι τοῦ νῦν τὸ ἀξίωμα τοῦτο κατέχων.

Τῇ δὲ 1ῃ Ἰουνίου τοῦ ἐνεστῶτος ἔτους 1894 δοθείσης μοι παρὰ τοῦ τῆς Παιδείας Ὑπουργείου διμήνου ἀδείας ἀπῆλθον εἰς Ἐρλάγγην[1] τῆς Βαυαρίας καὶ ὑποστὰς τὴν διδακτορικὴν δοκιμασίαν ἐν τῷ αὐτόθι Πανεπιστημίῳ ἐνώπιον τῶν διαπρεπῶν τῆς Φιλοσοφικῆς Σχολῆς Καθηγητῶν Ῥοιμέρου, Λουξίου καὶ Φλασχίου ἀνερρήθην ὑπὸ τοῦ Κοσμήτορος τῆς Σχολῆς ὡσαύτως Καθηγητοῦ Φαρναγήνου Διδάκτωρ τῆς Φιλοσοφίας μετ' ἐπαίνου.

ΒΑΣΙΛΕΙΟΣ ΙΩΑΝΝΟΥ ΛΕΟΝΑΡΔΟΣ.

1 Ἡδέως ἐν τῇ παρούσῃ ἀπονέμω τῷ Γενικῷ Ἐφόρῳ τῆς τοῦ ἐν Ἐρλάγγῃ Πανεπιστημίου Βιβλιοθήκης διδάκτορι Μ. Ζουκέρῳ μεγίστην χάριν ἐπὶ τῇ εὐγενεστάτῃ τῶν πρὸς τὰς μελέτας ἀναγκαίων παροχῇ κατὰ τὴν ἐμὴν αὐτόθι διατριβήν. Ὡσαύτως δὲ πολλὰς οἶδα χάριτας καὶ τῷ αὐτόθι Βοηθῷ διδάκτορι Γεωργίῳ Βολφφίῳ ἀνθ' ὧν μοι φιλοφρονέστατα παρέσχηται χρειῶν.